ΕΙΡΗΝΗ Η ΑΘΗΝΑΙΑ

ΑΥΤΟΚΡΑΤΕΙΡΑ ΡΩΜΑΙΩΝ.

769—802.

LIBRARY OF PRINCETON
MAY 21 1909
THEOLOGICAL SEMINARY

ΜΕΡΟΣ Α'.

769—788

ΜΕΤΑ ΕΙΣΑΓΩΓΗΣ

ΠΕΡΙ ΤΩΝ ΠΟΛΙΤΙΚΩΝ ΣΥΝΕΠΕΙΩΝ ΤΗΣ ΕΙΚΟΝΟΜΑΧΙΑΣ

726—775

"ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ"

ΙΩΑΚΕΙΜ Δ. ΦΟΡΟΠΟΥΛΟΥ
ΔΙΑΚΟΝΟΥ
ΔΙΔΑΣΚΑΛΟΥ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ
ΚΑΙ ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

DF586
.P57

LIBRARY OF PRINCETON
MAR 19
THEOLOGICAL SEMINARY

DF586
.H57

ΕΙΡΗΝΗ Η ΑΘΗΝΑΙΑ

ΑΥΤΟΚΡΑΤΕΙΡΑ ΡΩΜΑΙΩΝ

MAY 21 1909
THEOLOGICAL SEMINARY

ΕΙΡΗΝΗ Η ΑΘΗΝΑΙΑ

ΑΥΤΟΚΡΑΤΕΙΡΑ ΡΩΜΑΙΩΝ.

769—802.

ΜΕΡΟΣ Α΄.

769—788

ΜΕΤΑ ΕΙΣΑΓΩΓΗΣ

ΠΕΡΙ ΤΩΝ ΠΟΛΙΤΙΚΩΝ ΣΥΝΕΠΕΙΩΝ ΤΗΣ ΕΙΚΟΝΟΜΑΧΙΑΣ

726—775

"ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ"

ΙΩΑΚΕΙΜ Δ. ΦΟΡΟΠΟΥΛΟΥ
ΔΙΑΚΟΝΟΥ
ΔΙΔΑΣΚΑΛΟΥ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΘΕΟΛΟΓΙΑΣ
ΚΑΙ ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

ΕΝ ΛΕΙΨΙΑ:
ΤΥΠΟΙΣ Γ. ΔΡΟΥΓΟΥΛΙΝΟΥ

LIPSIAE
APUD THEOD. STAUFFERUM

1887

ΤΩι ΠΡΩΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΙΩΑΚΕΙΜ Γ΄.

ΤΩι ΠΑΝΑΓΙΩΤΑΤΩι ΚΑΙ ΘΕΙΟΤΑΤΩι ΠΑΤΡΙΑΡΧΗι

ΠΑΙΔΕΙΑΣ ΕΡΑΣΤΗι ΚΑΙ ΠΡΟΣΤΑΤΗι

ΕΥΛΑΒΩΣ ΚΑΙ ΕΥΓΝΩΜΟΝΩΣ

ΑΝΑΤΙΘΕΤΑΙ

ΤΩι ΑΝΑΓΝΩΣΤΗι.

Τὸ ἔργον μου: Εἰρήνη ἡ Ἀθηναία, αὐτοκράτειρα Ῥωμαίων 769—802, ἐξ ἐννέα συνίσταται κεφαλαίων, τῶνδε:

Α′. Εἰσαγωγή. Πολιτικαὶ συνέπειαι τῆς Εἰκονομαχίας 726—75.

Β′. Εἰρήνη ἡ Ἀθηναία ἐπὶ Κωνσταντίνου Ε′. καὶ Λέοντος Δ′. 769—80.

Γ′. Εἰρήνη ἡ Ἀθηναία ἐπὶ Κωνσταντίνου ΣΤ′. 780—90.

Δ′. Εἰρήνη ἡ Ἀθηναία καὶ ἡ Ἐκκλησία 784—87.

Ε′. Εἰρήνης καὶ Μ. Καρόλου ἀγὼν περὶ Ἰταλίας 786—88.

ΣΤ′. Εἰρήνης καὶ Κωνσταντίνου Σ′. ἀγὼν περὶ ἀρχῆς 788—90.

Ζ′. Μονοκρατορία Κωνσταντίνου ΣΤ′. 790—97.

Η′. Καρόλου ἀγῶνες κατὰ τῆς Ῥωμαίων Αὐτοκρατορίας 792—94.

Θ′. Μονοκρατορία Εἰρήνης τῆς Ἀθηναίας καὶ καθαίρεσις 797—802.

Τούτων τὰ πρῶτα πέντε ἐπιμελέστερον ἐπεξεργασάμενος, πέβαλον τῇ Φιλοσοφικῇ Σχολῇ τοῦ ἐν Ἰένῃ Πανεπιστημίου ος ἐναίσιμον διατριβήν. Καὶ ὤφειλον μέν, ἐπὶ τῇ βάσει αὐτῆς, ος εἶχεν ἐγκριθείσης, διδάκτωρ τῆς Φιλοσοφίας ἀναγορευθεις, τὸ λον τύποις ἐκδοῦναι· τὸ πολὺ μέντοι τῆς δαπάνης (ἐκ πεντε-

καίδεκα γὰρ ὡς ἔγγιστα ἔμελλε συνιστασθαι τυπογραφικῶν φύλλων), ἠνάγκασέ με ἐξαιτήσασθαι παρὰ τῆς αὐτῆς Σχολῆς ἐπιτρέψαι μοι, ὅπως μέρος μόνον τῶν πέντε κεφαλαίων ἐκτυπώσω.

Καὶ δὴ τούτου τυχών, δι' ὃ καὶ μυρίας ὁμολογῶ τῇ τε Σχολῇ καὶ τῷ σοφῷ Βυζαντινολόγῳ κυρίῳ Ἐρρίκῳ Γέλζερ, τῷ σεβαστῷ μοι διδασκάλῳ, χάριτας, ἐκδίδωμι κατωτέρω δύο κεφάλαια, τὸ Β'. καὶ Γ'. ἐλπίζων ὅτι καὶ ἡ τοῦ λοιποῦ ἔκδοσις τάχιστα ἐπακολουθήσει.

Ἐν Λειψίᾳ, τῇ 25. Μαρτίου 1887.

ΙΩΑΚΕΙΜ Δ. ΦΟΡΟΠΟΥΛΟΣ.

ΕΙΡΗΝΗ Η ΑΘΗΝΑΙΑ

ΕΠΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ε'. ΚΑΙ ΛΕΟΝΤΟΣ Δ'.

769—780.

§ 15. Ἀπὸ τοῦ 751 συνεβασίλευε Κοπρωνύμῳ ὁ υἱὸς αὐτοῦ Λέων Δ'. ὁ ἐκ τῆς Χαζάρας Εἰρήνης (δι' ὃ καὶ Χάζαρος) γεννηθεὶς αὐτῷ ἐν ἔτει 750[1]. Τετραετὴς ἤχθη εἰς τὸν ναὸν τῶν Βλαχερνῶν πρὸς κύρωσιν τῆς ψευδεβδόμης συνόδου τοῦ 754[2], ἔκτοτε δὲ αὐτόπτης γινόμενος μάρτυς τῶν Κοπρωνυμείων διωγμῶν, ἐπαιδεύετο πρὸς τὴν θρησκείαν τοῦ τοκέως. Δεκαπενταετεῖ ἠβουλήθη Κοπρώνυμος συζεῦξαι αὐτῷ τὴν τοῦ ῥηγὸς τῶν Φράγκων Πιπίνου θυγατέρα, ἀλλὰ τούτου, ὡς ἔφθην εἰπών[3], ἀρνησαμένου, μετεπέμψατο ἐν ἔτει 769 καὶ συνέζευξεν αὐτῷ, μήπω τὸ εἰκοστὸν τῆς ἡλικίας συμπληρώσαντι, Εἰρήνην τὴν ἐξ Ἀθηνῶν. Ἦν ἄρ' Ἀτθὶς ἡ νέα αὐτοκράτειρα, καὶ τοῦτό ἐστι βέβαιον[4]. Πλὴν μέντοι τούτου οὐκ ἴσμεν τὰ τοῦ ἰδιωτικοῦ

---

1 Θεοφάνους Χρονογραφ. ἔκδ. Βόνν. σελ. 631. 657. 658. Νικηφόρου Χρονογραφ. ἀπὸ τῆς Μαυρικίου βασιλείας· ἔκδ. Βόνν. σελ. 66. 72. 73. — 2 Mansi Acta Conciliorum Vol. XIII. 352. πρβλ. Walch Historie der Ketzereien Vol. X. 309. — 3 Ἴδε Εἰσαγωγῆς § 13 σημ. 196. — 4 Θεοφ. 697: "εἰσῆλθεν Εἰρήνη ἐξ Ἀθηνῶν ἐλθοῦσα". Νικηφόρου Χρονογραφικὸν Σύντομον (ἐν τέλει τῆς Γ. Συγκέλλ. Χρονογραφ. ἔκδ. Βόνν. σελ. 757.) § ὅσαι γεγόνασιν Αὐγοῦσται: "Εἰρήνη ἡ Ἀθηναία". Γεωργίου μοναχοῦ (ἁμαρτωλοῦ) Χρονικὸν ἔκδ. de Muralt σελ. 654: "εἰσελθούσης Εἰρήνης τῆς ἐξ Ἀθηνῶν" καὶ ἐν σελ. 661: "βασιλεία Εἰρήνης τῆς ἐξ Ἀθηνῶν". Γεωργ. Κεδρηνοῦ Χρονογραφ. ἔκδ. Βόνν. τόμ. Π. σελ. 17: "ἦλθεν Εἰρήνη ἐξ Ἀθηνῶν". Ζωναρᾶ

βίου τοῦ ἐξόχου τούτου τῆς ὀγδόης ἑκατονταετηρίδος γυναίου. Οὔτε πότε ἐγεννήθη, οὔτε ἐκ τίνων καὶ ὁποίων καὶ ὅπως καλουμένων, ὡς καὶ οὐδ' ὅπως ἐπαιδεύθη ἔχομέν τι εἰπεῖν· οἱ μὲν γὰρ σύγχρονοι αὐτῇ σιγῶσιν ὅλως, ἀποφάνσεις δέ τινων νεωτέρων πάνυ ἀβάσιμοί εἰσιν[5]. Ἀλλ' οὐδ' εἰ ἀρχῆθεν ὠνομάζετο Εἰρήνη τυγχάνει βέβαιον. Ναὶ μὲν ὁ ἀρχαιότατος τῶν τὰ κατ' αὐτὴν ἱστορούντων Θεοφάνης οὕτως ὀνομαζομένην εἰσάγει αὐτὴν εἰς Βυζάντιον[6]. Ζωναρᾶς ὅμως, ὃς πρὸς τῷ Θεοφάνει καὶ ἄλλαις ἐχρήσατο πηγαῖς[7], θέλει τὴν ἐξ Ἀθηνῶν γυναῖκα ἐν Κωνσταντινουπόλει, ἐν τῷ στέφεσθαι αὐτὴν Αὐγούσταν ὀνομασθῆναι Εἰρήνην. "Ὁ Κοπρώνυμός, φησιν, ἠγάγετο τῷ υἱῷ αὐτοῦ γυναῖκα ἐξ Ἀθηνῶν, στέψας αὐτὴν Αὐγούσταν καὶ καλέσας Εἰρήνην"[8]. Τοῦτο δέ, εἰ μὴ προῆλθεν ἐκ συγχύσεως πρὸς τὸ τῆς Χαζάρας ἡγεμονόπαιδος, ἣν μεταπεμψάμενος ἐν ἔτει 732—3 (α'. Ἰνδικτ.) Λέων ὁ Ἴσαυρος καὶ "Χριστιανὴν ποιήσας ὠνόμασεν Εἰρήνην" καὶ ἔζευξε Κοπρωνύμῳ[9], οὗ μνημονεύει ἄλλως καὶ Ζωναρᾶς[10], οὐ φαίνεταί μοι ἀπίθανον. Ἴσως γὰρ τὸ ὠθῆσαν Ἴσαυρον ὀνομάσαι τὴν Χαζάραν ἐν τῷ βαπτίσματι "Εἰρήνην", οὐκ ἄλλως, αὐτὸ τοῦτο ὥθησε καὶ Κοπρώνυμον ὀνομάσαι τὴν Ἀθηναίαν ἐν τῷ στέφεσθαι τῷ αὐτῷ ὀνόματι. Ἀμφότεροι οὗτοι οἱ βασιλεῖς διαρκῶς κατὰ τοῦ ὑπηκόου μαχόμενοι, ἐστεροῦντο εἰρήνης καὶ ἐπόθουν ταύτης τυχεῖν καὶ ὀνόματι μόνον· ἐγένοντο δὴ αἱ μετονομασίαι ἐν τῇ ἀκμῇ τῶν διωγμῶν. Ἄλλως τε καὶ ἐν τῇ ὀγδόῃ ἑκατονταετηρίδι τρία ἔχομεν παραδείγματα

Χρονικὸν Βιβλ. XV. § 8: "ἠγάγετο γυναῖκα ἐξ Ἀθηνῶν". Ὅλως ἄπορον δὲ τὸ ὅτι ἀβεβαίαν ἡγεῖται τὴν πατρίδα αὐτῆς Ranke ἐν Weltgeschichte, V. 2, 88. — 5 Gibbon, φέρ' εἰπεῖν, "Roman Empire" κεφ. 48 θέλει αὐτὴν an orphan seventeen years old, τουτέστιν "ὀρφανὴν δεκαεπταέτιδα". Ἀλλὰ τὸ μὲν πρῶτον βέβαιόν ἐστι· λέγει γὰρ Εἰρήνη τῷ καθαιρέτῃ αὐτῆς Νικηφόρῳ Θεοφ. 741: "Θεὸν ἡγοῦμαι τὸν πρὶν ὀρφανευθεῖσαν ὑψώσαντά με"· τὸ δεύτερον μέντοι ἄγνωστον πόθεν ληφθέν. Ἐπ' ἴσης Σπυρίδων Ζαμπέλιος, Βυζαντιναὶ Μελέται σελ. 357: "Θυγατέρα λογίου ἀνδρός, ἑνὸς τῶν τελευταίων κρίκων τῆς μακρᾶς ἁλύσεως τῶν φιλοσόφων", ὅπερ ἄνευ παραπομπῆς εἰς τὴν ἐξ ἧς ἤντληται ἀφανῆ πηγὴν οὐδεμίαν ἀξίαν κέκτηται. — 6 Ἴδε σημ. 4. — 7 Ἰδ. τὸ Προοίμιον αὐτοῦ § β'. περὶ δὲ τῶν πηγῶν καὶ τῆς ἀξιοπιστίας αὐτοῦ Hirsch, Byzantin. Studien 377—96. — 8 Χρονικὸν Βιβλ. XV. § 8. — 9 Θεοφ. 631. — 10 Χρονικὸν XV. § 4.

μετονομασίας ἐν τῷ στέφεσθαι: τὸ τοῦ Βαρδάνου ὀνομασθέντος Φιλιππικοῦ· τὸ τοῦ Ἀρτεμίου ὀνομασθέντος Ἀναστασίου, καὶ τὸ τοῦ Βασιλείου ἐν Σικελίᾳ Τιβερίου[11]. Οὐκοῦν οὐχ ὁ χρόνος μόνον τῆς γεννήσεως, οἱ γεννήτορες καὶ ἡ κοινωνικὴ τάξις καὶ ἡ ἀγωγή, ἀλλὰ καὶ τὸ ἀρχικὸν τῆς Εἰρήνης ὄνομα ἀγνοεῖται.

§ 16. Εἰρήνη ἦν ἐξ Ἑλλάδος, ἐκ τῆς χώρας δηλονότι ἐκείνης, ἣ πρώτη μετὰ τὴν βασιλεύουσαν ἐπανέστη Ἰσαύρῳ καὶ ὀρθόδοξον ἐκλεξαμένη αὐτοκράτορα — τὸν Κοσμᾶν — ἐξεστράτευσε καθαιρέσουσα τὸν αἱρεσιάρχην[12]. Τοῦτο δὲ καὶ εἰ μὴ ἤρκει ἀφ' ἑαυτοῦ δηλῶσαι τὸ περὶ τῆς αἱρέσεως φρόνημα τῆς Εἰρήνης, μέγα ἂν ἐνισχύετο ὑπὸ τῆς μαρτυρίας Μιχαὴλ τοῦ βιογράφου Θεοδώρου τοῦ Στουδίτου, διαρρήδην λέγοντος ὅτι Εἰρήνη "πάλαι τοὺς κακοδόξους [Εἰκονομάχους] ἐμυσάττετο"[13]. Ἡ πεποίθησις δ' αὕτη ἤγαγε πάντως δήπου Κοπρώνυμον εἰς τὸ ἐπιβαλεῖν αὐτῇ ὅρκον, ἴσως πρὸ τῆς στέψεως, "τοῦ μὴ προσκυνῆσαί ποτε εἰκόνας·" ὅπερ ἐπεισόδιον, καίπερ ὑπὸ μόνου Κεδρηνοῦ[14] — μεταγενεστέρου Χρονογράφου — ἱστορούμενον, οὐκ ἀπορρίψιμον, ὡς ἐμοὶ δοκεῖ, ἕνεκα τῆς βαθείας σιγῆς τῶν προσεχεστάτων τῇ Εἰκονομαχίᾳ Θεοφάνους, Νικηφόρου, Θεοδώρου Στουδίτου καὶ Γεωργίου μοναχοῦ. Ἅμα γὰρ ἀναλογίσηταί τις τὴν Κοπρωνύμου πρὸς τὸ ὁρκίζεσθαι κλίσιν καὶ τὸ ὅτι καὶ παρὰ τῶν πατριαρχῶν αὐτῶν, τῶν ἐπισκόπων καὶ τοῦ λαοῦ ἀπῄτει τὸν τοιοῦτον ὅρκον[15], εὐλόγως ἀπορήσει, εἰ οὐχ οὕτως ἐγένετο καὶ ἐπὶ τῆς αὐτοκρατείρας αὐτῆς. Τὸ ὅτι δ' ἡ Χαζάρα Εἰρήνη οὐ συνυπήχθη τῇ Εἰκονομαχίᾳ, ἀλλὰ "μυηθεῖσα τὸ δόγμα τὸ εὐσεβὲς ἔμεινεν ἀμετάτρεπτος" καὶ

---

11 Θεοφ. 580. 588. 611—12. Νικηφ. 52. 55. 61. Πρὸ τῆς Εἰρήνης Ἰουστῖνος Α΄. (518—27) Λουπικίαν τὴν ἰδίαν γαμετὴν Εὐφημίαν ἐν τῇ στέψει μετωνόμασε· Ζωναρ. XIV. 5. Ἰνὼ δὲ ἡ Τιβερίου Β΄. (578—82) ὁμόζυξ ἐν τῷ στέφεσθαι Αὐγούστα ὑπὸ μὲν τῶν Πρασίνων Ἑλένη, ὑπὸ δὲ τῶν Βενέτων Ἀναστασία ἐκλήθη. Ἰωάννου ἐπισκ. Ἐφέσου Χρονικὸν III. 9. πρβλ. Θεοφ. 384. — 12 Θεοφ. 623. Νικηφ. 64—65 καὶ ἀνωτ. § 2. — 13 Βίος § δ΄. Migne, Patrol. Graeca Vol. 99. σελ. 120. — 14 Χρονικὸν II. 19: "τὴν δὲ γυναῖκα αὐτοῦ — Εἰρήνην — ἐξουδένωσεν εἰπὼν (ὁ Χάζαρος· ἴδ. κατωτ. § 25): οὕτως ὤμοσας τῷ πατρί μου τῷ βασιλεῖ ἐπὶ τῶν φρικτῶν . . . τῆς πίστεως μυστηρίων;" — 15 Θεοφ. 695. Νικηφ. 81—82.

δὴ καὶ "ἤλεγχε τὴν δυσσέβειαν τῶν Εἰκονομάχων"[16] οὐ παραβλάπτει ποσῶς τὴν Κεδρηνοῦ ἐναντίαν περὶ τῆς Ἀθηναίας μαρτυρίαν. Ἤτοι γὰρ Ἴσαυρος καὶ Κοπρώνυμος οὐκ ἐβίασαν ἐκείνην αἱρετίσαι φόβῳ τοῦ πατρὸς αὐτῆς, τοῦ κραταιοῦ τῶν Χαζάρων δυνάστου, ἢ διὰ τὸ ἀποθανεῖν αὐτὴν πολὺ πρὸ τοῦ ἀπαιτεῖν Κοπρώνυμον παρὰ πάντων τὸν τοιοῦτον ὅρκον, καὶ δὴ πρὸ τῆς ψευδεβδόμης συνόδου[17]. Ὥστε ἡ Ἀθηναία Εἰρήνη ὤμοσεν, ὡς ἔμοιγε δοκεῖ, ὅτι οὐ προσκυνήσει εἰκόνας, τηρήσει δηλονότι τοὺς νόμους τῆς Αὐτοκρατορίας, ἧς ἐκέκλητο βασίλισσα, καὶ οὕτως ἐξ Ἱερείας εἰσῆλθε πομπωδῶς τῇ α΄. Νοεμβρίου τῆς ἡ Ἰνδικτιῶνος (769) εἰς ΚΠ καὶ ἐν μησὶ δυσὶν ἐμνηστεύθη, ἐστέφθη Αὐγούστα καὶ συνήφθη γαμικῶς Λέοντι Δ΄. ᾧ μετὰ τρεισκαίδεκα μῆνας ἔτεκε Κωνσταντῖνον τὸν ΣΤ΄.[18]

§ 17. Μετὰ τὸν Εἰρήνης γάμον Κοπρώνυμος ἓξ μόνον ἔζησεν ἔτη, καθ' ἃ οὐδεὶς μὲν θρησκευτικὸς διωγμὸς ἐγένετο ἐν Βυζαντίῳ, οἱ ἐντεῦθεν ὅμως μικρὸν πρότερον φυγόντες μοναχοί, οἱ μὲν εἰς Ἰταλίαν καταφυγόντες εὐμενέστατα ὑπὸ τῶν παπῶν προσελαμβάνοντο καὶ ἐν ἰδίαις ἀπεκαθίσταντο μοναῖς[19], οἱ δ' ἐν ταῖς ἐπαρ-

---

16 Θεοφ. 631. Ζωναρ XV. § 4. — 17 Τὸν ὅρκον ἀπήτει τῇ δ΄ Ἰνδικτ. (765—66). Θεοφ. 675. πρβλ. Hefele Conciliengeschichte III. § 339 (ἔκδ. Β΄. σελ. 428) ἢ τῇ ε΄ Ἰνδικτ. (766—67). Νικηφ. 82. πρβλ. Pagi Critica ad Ann. Baronii ann. 765. 1. δηλαδὴ μικρὸν πρὸ τῆς ἐλεύσεως τῆς Ἀθηναίας. Ἡ δὲ Χαζάρα ἐλθοῦσα εἰς ΚΠ καὶ μνηστευθεῖσα τῷ τρισκαιδεκαετεῖ Κοπρωνύμῳ ἐν ἔτει 732—33, α΄ Ἰνδικτ. Θεοφ. 631. Νικηφ. 66, (ἄγνωστον δὲ πότε συναφθεῖσα αὐτῷ γαμικῶς) ἔτεκεν αὐτῷ Λέοντα Δ΄. 25. Ἰανουαρ. 750, γ΄ Ἰνδικτ. Θεοφ. 657. Νικηφ. 72. Ὡς δὲ φαίνεται ἀπεβίω ταχὺ μετὰ τὸν τοκετόν. Τάσσει γὰρ Νικηφόρος 73 τῇ ε΄ Ἰνδικτ. 751—52 (ὡς ἐκ τοῦ Θεοφ. 658 ἔστιν ἰδεῖν) τὸν θάνατον "Μαρίας τῆς γαμετῆς αὐτοῦ" δηλ. τῆς δευτέρας γαμετῆς τοῦ Κοπρων., τῆς Εὐδοκίας οὔσης τρίτης, ἣν ἐν ἔτει 769 Ἀπριλ. α΄ ἔστεψεν Αὐγούσταν, τοὺς δ' ἐξ αὐτῆς τρεῖς υἱοὺς αὐτοῦ καίσαρας καὶ νοβελισίμους. Θεοφ. 686. Νικηφ. 86. πρβλ. Ζωναρ. XV. § 8. — 18 Τῇ 3. Νοεμβρ. ἐμνηστεύθη, τῇ 17. Δεκεμβρ. ἐστέφθη καὶ ἐνυμφεύθη Χαζάρῳ, τῇ δὲ 14. Ἰανουαρ. 771 ἔτεκε Κωνσταντῖνον ἰδ. Θεοφ. ἔκδ. de Boor σελ. 444. ἔκδ. Βόνν. 687—88. Νικηφ. 86. — 19 Baronii Annales Eccl. ann. 761. 15. Pagi Critic. ann. 754. 14. ὁμοίως Βίον Στεφάνου τοῦ Νέου ἐν τοῖς Annalecta Graeca τῶν Mauriner Vol. I. 451. πρβλ. Hefele III. § 337. Ζαμπελίου αὐτόθ. 311—13.

χιαις τῆς Αὐτοκρατορίας ἐγκαταστάντες[20] δεινῶς καὶ ὠμῶς ὑπὸ τοῦ Λαχανοδράκοντος κατεδιώκοντο[21]. Ἐνώπιον δὲ Εἰρήνης, θεωμένης τὸν ἐκ τῆς δημεύσεως τῶν μονῶν εἰσκομιζόμενον χρυσόν[22], "ἔγραψε Κοπρώνυμος τῷ Λαχανοδράκοντι εὐχαριστίας λέγων, ὅτι εὗρόν σε ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιεῖς πάντα τὰ θελήματά μου"[23]. Τελευτῶν μέντοι μετ' οὐ πολὺ ἐν τῷ χελανδίῳ, ἐν τῷ ἐπανέρχεσθαι κλινήρης εἰς ΚΠ μετενόησεν ἐπὶ τοῖς πεπραγμένοις αὐτῷ κατὰ τῆς Ἐκκλησίας[24] καὶ ἡ μεταμέλεια αὕτη, καὶ εἰ μὴ ἦν τυχὸν εἰλικρινής, πάντως ὅμως, ἅπαξ γνωσθεῖσα, ὑπῆρξεν ὀξύτατον δόρυ νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐν ταῖς χερσὶ τῆς εὐγλώττου Ἀθίδος κατὰ Χαζάρου παλλόμενον.

§ 18. Εἰρήνη φαίνεται μέγα παρὰ Χαζάρῳ ἰσχύουσα· τοῦτο δὲ ῥητέον καὶ ἐν τοῖς πολιτικοῖς, οὐ τοῖς ἐκκλησιαστικοῖς μόνοις. Ἐὰν γάρ τις ἀντιπαραβάλῃ τὴν σοφὴν Χαζάρου πολιτείαν πρὸς τὴν Εἰρήνης βραδύτερον, οὐκ ὀκνήσει δήπου συνομολογήσειν μοι, ὅτι ἐπὶ Χαζάρου Εἰρήνη μόνη ἐκυβέρνα. Ὅτι δ' οὐκ ἀπεμιμήσατο αὕτη τὴν πολιτείαν τοῦ ἀνδρὸς, ὡς ἄν τις ἀντέλεγε, δῆλον γίγνεται ἐκ τοῦ ὅτι, ἅμα ὡς Χάζαρος καὶ Εἰρήνη ἤρισαν πρὸς ἀλλήλους καὶ ταύτης ἀποπεμφθείσης τῶν βασιλείων, μόνος ἐκεῖνος ἐκυβέρνα ἐπὶ μῆνας ἕξ, ἡ πολιτεία ἔδη κατὰ κρημνῶν ἐν τοῖς ἐπείγουσι τότε πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς ζητήμασιν, ὡς ὀψόμεθα[25]. Ἀναμφίβολόν δ'

---

20 Ὅρα Βίον Στεφάνου αὐτόθι 447. 452. Ζωναρ. XV. § 7. — 21 Θεοφ. 688—90. — 22 Θεοφ. 689. — 23 Θεοφ. 690. — 24 Θεοφ. 693: "Οἰκτρῶς ἐν τῷ χελανδίῳ θνήσκει (14. Σεπτεμβρ. 775) βοῶν καὶ λέγων, ὅτι ζῶν ἔτι πυρὶ ἀσβέστῳ παρεδόθην, τήν τε ἁγίαν . . . Θεοτόκον ὑμνεῖσθαι ἐξαιτῶν ὁ ἄσπονδος αὐτῆς ἐχθρός". Νικηφ. 135. Γεωργ. μοναχ. 655. Κεδρην. II. 18. Ζωναρ. XV. § 8. πρβλ. Walch X. 387. — 25 Ὅντως ἡ Χαζάρου πολιτεία τοιαύτη τίς ἐστιν, ὥστε ὁ τὰ καθ' ἕκαστα εἰδὼς οὐ τολμήσει "ἀσθενοῦς πνεύματος" βασιλέα ἀποκαλέσαι αὐτόν. Ἐπειδὴ δὲ Ἱστορικὸς πολυΐστωρ — Gibbon — οὕτω χαρακτηρίζει τὸν ἄνδρα λέγων κεφ. 48: "Leo the fourth was of a feeble constitution both of mind and body and the principal care of his reign was the settlement of the succession," ἀδυνατοῦμεν δὲ πιστεῦσαι ὅτι οὐκ ᾔδει τὰ ἐπ' αὐτοῦ πολιτικὰ γεγονότα, πιστεύομεν ὅτι ἄλλον τινὰ διεώρα κυβερνῶντα σοφῶς τὴν πολιτείαν· διὸ δὴ καὶ οὐκ ὤκνησε μόνον τὴν περὶ διαδοχῆς μέριμναν ἀποδοῦναι αὐτῷ. Τὸν ἄλλον δὲ τοῦτον — τὴν Εἰρήνην δηλ. — οὐκ

ἐστιν ὅτι ἡ "πάλαι τοὺς κακοδόξους μυσαττομένη", ἐπωφελουμένη ἐκ τῆς Κοπρωνύμου προσφάτου μεταμελείας, τοῖς ἐκκλησιαστικοῖς προσέσχεν ἐν πρώτοις τὸν νοῦν, τὴν εἰρήνην ποθοῦσα καὶ δοκιμάζουσα τῇ ἐσχισμένῃ Ἐκκλησίᾳ βραβεύσασθαι. Ἀλλ' ὅσον ἂν μὴ ἡμάρτανε τοῦ σκοποῦ εὐστόχως τὴν μετάνοιαν τοῦ πατρὸς κατὰ τοῦ υἱοῦ ἐξακοντίζουσα, πολὺ ἀπεῖχε τοῦ μεταπεῖσαι ἄρδην αὐτὸν καὶ ἰδίας πεποιθήσεις ἔχοντα, καὶ τὸν γεννήτορα σεβόμενον, καὶ τὸν ἐν ΚΠ ἑσμὸν τῶν Εἰκονομάχων εὐλαβούμενον. Διὸ δή, μὴ ἀνατρέψας οὗτος τὰ θεσπίσματα πατρὸς καὶ πάππου, ἐκάμμυεν οὐχ ἧττον τὰ ὄμματα πρὸ τῶν ἀντιθέτων πόθων καὶ τῶν περιεσκεμμένων, εἰ καὶ ἀνατρεπτικῶν, ἐνεργειῶν τῆς σοφῆς Εἰρήνης. Μὴ ἀφεὶς ἐντελῶς τοῖς λαοῖς, οὓς οἱ δύο πρόγονοι ἐπαχθεστάτους ἐπέβαλον αὐτοῖς φόρους[26], ἐξημενίσατο οὐδὲν ἧττον τὸ ὑπήκοον "τῇ διανομῇ τοῦ ἐκ τῶν φόρων ἀποταμιευθέντος χρυσίου"[27]. Μὴ ἀκυρώσας δὲ καὶ τὴν σύνοδον τοῦ 754, οὐκ ἐδίωκε μέντοι τοὺς ταύτην ἀποκηρύττοντας, ἐπέτρεψε δηλαδὴ τοῖς ἀφ' ἡμίσεως αἰῶνος ἐξωστρακισμένοις διδασκάλοις τῆς τε θύραθεν καὶ τῆς ἔσω γνώσεως νοστῆσαι, οἵ, "φωστῆρων δίκην τοῖς ἐν ἄστει ἐπιφαινόμενοι"[28], τὸ πᾶν μετέβαλον ἐν ἀκαρεῖ χρόνου. Ὡς δ' ἐγένετο τοῦτο ἐν ΚΠ καὶ ἡλίκη ἐπῆλθε βελτίωσις ἔν τε τῇ θρησκείᾳ καὶ τῇ ἠθικῇ τῶν πολιτῶν ὡς ἄριστα περιγράφεται ὑπὸ Θεοδώρου τοῦ Στουδίτου ἐν τῷ προσώπῳ τοῦ περιπύστου Πλάτωνος[29]. Ὁπόσον δ' ἤσθη ὁ λαὸς τούτοις καὶ ὁπόσα ἤλπισεν ἡ Ἐκκλησία ἐκ τῶν νῦν ὑπὸ Χαζάρου προβληθέντων ὀρθοδόξων μητροπολιτῶν[30] δῆλον γίγνεται ἐκ

ὠνόμασεν, ὡς τὸ εἰκός, ἀδυνατῶν, συνῳδὰ τῷ σχεδίῳ αὐτοῦ, ἐπαινέσαι οὐ μόνον Βυζαντινήν, ἀλλὰ δὴ καὶ ὀρθόδοξον αὐτοκράτειραν. — 26 Θεοφ. 631. 634—35. — 27 Θεοφ. 695. Γεωργ. μοναχ. 658. — 28 Θεοδώρου Στουδίτου ἐπιτάφιος εἰς Πλάτωνα κεφ. Γ. § 17. Migne Patr. Gr. Vol. 99. — 29 Αὐτόθι § 18. "Πλάτων ἀφ' οὗ ἐπεδήμησε τοῖς ἐν ἄστει ὅλους οἴκους μετέπλασε καὶ μετεστοιχείωσεν εἰς βίον ἐνάρετον ... ὅρκον ἐκκόψας ... καλλωπισμοὺς συστείλας ... φιλοπτωχίαν ἐμποιήσας ... πρὸς ἀνάγνωσιν ῥυθμίσας καὶ πρὸς ὁτιοῦν τῶν καλῶν εὖ ἐπανάγων· καὶ ταῦτα ἐν κόπῳ καὶ μόχθῳ, νυκτὸς καὶ ἡμέρας, τλῆπαθῶν, ἀγρυπνῶν, πεζοπορῶν ..." — 30 Θεοφ. 695. "ἔδοξεν εὐσεβὴς εἶναι ... καὶ φίλος τῆς Θεοτόκου καὶ τῶν μοναχῶν, ὅθεν καὶ μητροπολίτας ἐκ τῶν ἀββάδων ἐν τοῖς πρωτίστοις θρόνοις προεβάλετο." ὁμοίως Γεωργ. μοναχ. 658. Καὶ Πλάτων δ' αὐτὸς ἐκλήθη ὑπὸ τοῦ

τῆς προθυμίας λαοῦ τε καὶ στρατοῦ διαρκῶς καὶ ἐπιμόνως παρὰ Χαζάρου ἐξαιτουμένων στέψαι τὸν υἱὸν Κωνσταντῖνον βασιλέα, ὃ καὶ ἐποίησεν[31].

§ 19. Ἀλλ' ἡ μεταβολὴ δὴ αὕτη μεῖζον ἠνέῳξε χάσμα μεταξὺ Ὀρθοδόξων καὶ Εἰκονομάχων· ἡ δ' ἐκ τῶν τελευταίων μορφωθεῖσα ἰσχυρὰ φρατρία δυσμενῶς διακειμένη πρὸς τὰ παρόντα, ἐβουλεύσατο ἐμποδίσαι τὴν προσωτέρω πορείαν τῆς Ἀθηδος. Οἷον δ' ὑπῆρχε μέσον καταλληλότερον τῆς καθαιρέσεως τοῦ δι' οὗ ἐνήργει αὕτη αὐτοκράτορος; Ἀλλ' ἡ πρὸς τοῦτο συνωμοσία, ἰθυνομένη ὑπὸ τῶν ἐξ Εὐδοκίας πέντε Κοπρωνυμιδῶν[32] "σὺν σπαθαρίοις τισί, στράτορσι καὶ ἄλλοις βασιλικοῖς ἀνθρώποις"[33] ἀνεκαλύφθη ἐν καιρῷ καὶ πρῶτον νῦν — νέον ἐν τοῖς Βυζαντινοῖς Χρονικοῖς, ἐφ' ὅσον ἴσμεν — τῷ λαῷ ἀνετέθη ἀποφήνασθαι περὶ τῶν συνωμοτῶν. Ὁ γὰρ ἰδιαζόντως τοῖς ὅρκοις προσκείμενος Κοπρώνυμος οὐχ ὑστέρησεν ὁρκίσαι τὸν λαὸν "μὴ καταδέχεσθαι μετὰ θάνατον αὐτοῦ ἀδικηθῆναι τὰ τέκνα αὐτοῦ"[34]. Τίς οὖν ἕτερος ἐδικαιοῦτο δικαίαν ἐξενεγκεῖν περὶ τῆς ἐπιβουλῆς τῶν Κοπρωνυμιδῶν κατὰ τῶν καθεστώτων κρίσιν ἢ ὁ λαός; κληθεὶς οὖν πρὸς τοῦτο εἰς Μαγναύραν καὶ τὰ καθ' ἕκαστα τῆς ἐπιβουλῆς ἐνωτισάμενος, ἅπαντας ὁμοφώνως ἀπεφήνατο ἐνόχους εἶναι θανάτου[35]. Ὡς δὲ φαίνεται ἐκ τῆς μετέπειτα πολιτείας τῆς Εἰρήνης, ταύτῃ,

---

πατριάρχου Νικήτα (ἴδ. κατωτ.) δέξασθαι τὴν Μητρόπολιν Νικομηδείας, ἀλλ' ἀπεποιήσατο "τὸ ὕψος τῆς ἱερωσύνης δεδιώς ὁ τὴν ἀρετὴν μετέωρος" κατὰ τὸν Στουδίτην αὐτόθ. § 19, ἐξ οὗ δηλοῦται ὅτι οἱ νέοι Μητροπολῖται οὐκ ὑπεβάλλοντο τῷ συνήθει ὅρκῳ "τοῦ μὴ προσκυνεῖν εἰκόνας", ὃ ἐκήρυσσεν ἄν Στουδίτης, εἰ διὰ τοῦτο ἀπεποιήσατο τὴν ἕδραν Πλάτων. Ὥστε λίαν σφάλλεται Walch αὐτ. Χ. 520 ἰσχυριζόμενος, ὅτι οἱ νυνὶ προβαλλόμενοι ἦσαν ἐκ τῶν ἐπὶ Κοπρωνύμου αἱρετισάντων ἀββάδων. — 31 Θεοφ. 695—97. ἔστεψε δ' αὐτὸν τῇ ἡμέρᾳ τοῦ Πάσχα, 24. Ἀπριλ. 776. — 32 Ἴδε σημ. 17 ἀνωτ. καὶ 35 κατωτέρω. — 33 Θεοφ. 697. — 34 Θεοφ. 697. — 35 Θεοφ. 697: "οἱ δὲ — ὁ λαὸς — ὁμοθυμαδὸν ἀνεβόησαν τοῦ παρασταλῆναι ἀμφοτέρους ἐκ τοῦ μέσου". Τὸ ἀμφοτέρους ὅμως παρὰ Θεοφάνει σημαίνει παραδόξως ἅπαντας, ὡς δηλοῦται ἐξ ἄλλου σαφεστέρου χωρίου σελ. 725: "ἀποστείλας ἐξήγαγεν εἰς ἅγιον Μάμαντα ἀμφοτέρους τοὺς υἱοὺς τοῦ πάππου αὐτοῦ· καὶ τὸν μὲν Νικηφόρον ἐτύφλωσε· Χριστοφόρον δὲ καὶ Νικήταν, Ἀνθιμόν τε καὶ Εὐδόκιμον ἐγλωσσοκόπησεν".

ἦν κυρίως ἐσκόπει ἡ κατὰ τοῦ ἀνδρὸς ἐπιβουλή, οὐχ ὁμοίως τῷ λαῷ ἔδοξε· διὸ ἐδάρησαν μόνον οἱ νεωτερίσαντες καὶ τὴν κόμην ἀφαιρεθέντες, ἐξωρίσθησαν εἰς Χερσῶνα ὑπὸ παραφυλακὴν καὶ ἀσφάλειαν[36].

§ 20. Πρὸ τούτων ὅμως ἁπάντων καὶ δὴ εὐθὺς ὡς ἔλαβον οἱ νυνὶ κυβερνῶντες τὰς ἡνίας τῆς πολιτείας ἔστρεψαν τὸ βλέμμα πρὸς τὴν Δύσιν, ὅπου συνέβησαν τὰ ἐν τῷ πρώτῳ κεφαλαίῳ ἱστορηθέντα. Ὁ Δεσιδερίου υἱὸς Ἄδαλγις καταφυγὼν εἰς Βυζάντιον[37], ἐξενίζετο παρὰ Χαζάρῳ καὶ ὑπεμίμνησκε δήπου αὐτῷ διαρκῶς καὶ τὸ δι' ὃ ἐληλύθει, καὶ τὰ αὐτοκρατορικὰ ἐπὶ τῆς Ῥώμης καὶ Ἰταλίας δικαιώματα, ἅπερ οὕτω παρημέλησε Κοπρώνυμος. Χάζαρος δέ, τουτέστιν ὁ ἐπ' ὀνόματι αὐτοῦ κυβερνῶν, ἅμα πηδαλιουχεῖν ἀρξάμενος, οὐδενὸς ἐφείσατο μέσου πρὸς ἀνάκτησιν τῆς ἐν τῇ Δύσει ἰσχύος. Ἐπολιτεύσατο δὲ σοφώτατα. Ἀτυχῶς ὅμως τὰ περὶ τῶν βουλευμάτων αὐτοῦ μεταδίδονται ἡμῖν ὑπὸ δυτικῶν Χρονογράφων καὶ τῶν παπῶν, οὐ φίλα τῇ Ἀνατολῇ φρονούντων, καὶ οὐκ ἔχομεν ἑλληνικὴν πηγήν, ὅπως αὐθεντίαν ἀντιτάσσωμεν τῇ σκοπίμῳ ἔσθ' ὅτε διαστροφῇ τῆς ἀληθείας. Ὁ γὰρ Θεοφάνης βραχύτατός ἐστιν ἐν τῷ περὶ Δύσεως, τουτέστι περὶ τῆς ἐν τῇ Δύσει πολιτείας τῶν Αὐτοκρατόρων, λαλεῖν. Καὶ εἰ δὲ τοῦτο μόνον ἐν μέρει ἰσχύει περὶ τῶν ἐφεξῆς σχέσεων Εἰρήνης καὶ Καρόλου λεγόμενον, περὶ τῶν ὑπὸ ἔρευναν μέντοι γεγονότων ἰσχύει καθόλου. Ἐκ τῶν Δυτικῶν οὖν πηγῶν τῆς Ἱστορίας ἐξάγεται, ὅτι ἡ κατάστασις τῶν Αὐτοκρατορικῶν ἐν Ἰταλίᾳ ἐπαρχιῶν οἰκτρὰ ἦν μετὰ τὸ ἀνανεώσασσθαι Κάρολον ἐν Ῥώμῃ, τῷ 774, τὴν Πιπίνου πρὸς τὸν πάπαν δωρεάν. Κάρολος γάρ, τοῦ βασιλείου τῶν Λογγοβάρδων δεσπόσας, σὺν τῷ θρόνῳ δὲ καὶ τοὺς παλαιοὺς αὐτῶν πόθους πρὸς κατάλυσιν τῆς ἐν Ἰταλίᾳ Βυζαντινῆς ἐξουσίας κληρονομήσας, καὶ νῦν ὡς ἐμοὶ δοκεῖ, τῷ Ρωμαίων στέμματι ἐποφθαλμιᾶν ἀρξάμενος, οὐ τὴν Λογγοβαρδίαν μόνον οὐκ ἐσκόπει τῷ πάπᾳ δωρήσασθαι, ὥς γε οὗτος ἐκ τῆς ἐν Σπολητίῳ ἀναμίξεως αὐτοῦ

---

36 Θεοφ. 697. Ἐγένοντο δὲ ταῦτα τῷ πρώτῳ ἔτει Χαζάρου, ἤτοι τῇ ιδ' Ἰνδικτ. καὶ δὴ Μαΐῳ τοῦ 776. — 37 Θεοφ. 694: "τῷ δ' αὐτῷ ἔτει [34. Κοπρωνύμου ιγ'. Ἰνδ. 774—75] καὶ ὁ τῶν Λογγιβάρδων ῥὴξ Θεόδοτος ἐν τῇ βασιλευούσῃ ἐληλυθὼς πόλει τῷ βασιλεῖ προσέφυγεν". Ἴδ. ἀνωτ. § 14. Περὶ τοῦ ὀνόματος δὲ Θεόδοτος ἀντὶ Ἀδάλγιδος κατωτ. § 38. σημ. 38.

προδίδοται φανταζόμενος, ἀλλ' οὐδὲ τὰς ἐν τῇ Πιπίνου δωρεᾷ Ἑλληνικὰς ἐπαρχίας· καὶ τούτου δὴ χάριν ἐγγράφως ἀνανεωσάμενος Ἀδριανῷ τῷ Α'. τὴν ἐν λόγῳ δωρεάν, ἐδωρήσατο συγχρόνως τὰς αὐτὰς χώρας, ἢ μέρος γε αὐτῶν, καὶ τῷ Ραβέννης Ἀρχιεπισκόπῳ Λέοντι[38]. Εἰς τὰ ἴδια δ' ἐπανακάμψας εὐηγγελίζετο μόνον τοὺς περὶ κατοχῆς ἀγῶνας τῶν δωροδόκων, ἀμφοτέρων εἰς τὴν Καρόλειον δωρεὰν ἐκκαλούντων καὶ διαπρεσβευομένων, ἀλλὰ μόνον ἤκουεν ἀπαθῶς τὰς δεήσεις αὐτῶν καὶ ἀξιώσεις καὶ προσέκλινε μᾶλλον Λέοντι ὡς εὐχειρωτοτέρῳ Ἀδριανοῦ[39]. Πλὴν τῆς συγχύσεως ὅμως ταύτης, ἀρξαμένης τῷ 774, ζῶντος Κοπρωνύμου, ἡ Ἰταλικὴ Χερσόνησος μετεβλήθη μονονοὺκ εἰς εὐρὺ πεδίον μάχης τούτου τελευτήσαντος, ἡ δ' ἀφορμὴ τούτου ζητητέα εἰς Βυζάντιον. Καὶ ὡς μὲν τοῦτο γέγονεν, οὐδ' αἱ Δυτικαὶ πηγαὶ ἔχουσιν εἰπεῖν, μόνον αἰτιατὰ ἀφανῶν αἰτίων ἐκτιθέμεναι, ὅτι δηλαδὴ ὁ Ρωμαίων βασιλεὺς συνεμάχησε κατ' αὐτὸ τοῦ καιροῦ τοῖς Λογγοβάρδοις δουξί: Ῥοδογαύδῳ Φορῳουλίου, Ἀρίχιδι Βενεβεντοῦ, Ῥεγινάλδῳ Κλουσίου καὶ τῷ ὑποτελεῖ τῷ πάπᾳ Ἱλδεμβράνδῳ Σπολητίου, ὅπως τῇ τούτων βοηθείᾳ ἐξώσῃ τοὺς Φράγκους τῆς Ἰταλίας καὶ ἀποκαταστήσῃ Ἀδαλγιν ἐπὶ τοῦ Δεσιδερίου θρόνου. Ὥρισε δ' αὐτοῖς πρὸς τοῦτο τὸν Μάρτιον τοῦ 776[40]. Ἱκανὸν μέντοι

---

38 Codex Carolinus (ἐν τῷ IV. Τόμῳ τῆς Bibliotheca rerum Germanicarum τοῦ Jaffé) epistola 51. "Postquam vestra excellentia, γράφει Ἀδριανὸς Καρόλῳ, a civitate Papia in partes Franciae remeavit, ex tunc tyrannico atque procacissimo intuitu rebellis beato Petro et nobis extitit — Leo. — Et in sua potestate diversas civitates Aemiliae . . . detinere videatur, *asserens quod a vestra excellentia ipsae civitates uua cum universo Pentapoli illi fuissent concessae.* Et continuo direxit . . . missum suum per . . . Pentapolim *hoc ipsum denuntians.*" — 39 Ἴδε Abel, Jahrbücher Karls des Grossen σελ. 164 καὶ ἐφεξῆς. Πρβλ. Richter, Annalen des fränkischen Reiches II. ann. 775. d. Καὶ οἱ λαοὶ δὲ τῶν Ἑλληνικῶν τούτων ἐπαρχιῶν ἤριζον περὶ ἐπισκόπου ἄρχοντος· καὶ οἱ Ραβέννης μὲν ἤθελον ὑπὸ Λέοντος κυβερνᾶσθαι, διὸ καὶ κακοὺς κακῶς ἀπήλαυνον τοὺς παπικοὺς διοικητάς· οἱ δὲ Πενταπόλεως προσέκλινον τῷ πάπᾳ καὶ ταὐτὰ ἐποίουν τοῖς Λέοντος. Ὅρα Abel αὐτ. σελ. 165. — 40 Cod. Carol. ep. 58: "Adhibentes — οἱ συμμαχοῦντες — adversus nos perniciosum consilium, qualiter . . . proximo Martio mense adveniente se utrosque in unum conglobarent cum

πρὸ τούτου καὶ δὴ φθίνοντι Ὀκτωβρίῳ τοῦ 775 ὁ λεγόμενος πατριάρχης Γράδων Ἰωάννης ἐγνώρισε τῷ πάπᾳ διὰ γραφῆς τὴν συμμαχίαν, ὁ δὲ ὡς τάχιστα ἀπέστειλε τὴν γραφὴν ταύτην Καρόλῳ, κατηγορῶν δὴ τοῦ Ραβέννης Λέοντος προδοσίαν. "Ἀπεσφράγισε Λέων τὴν Ἰωάννου γραφήν, ἔγραψε πρὸς Κάρολον, καὶ omnibus manifestum est ... dubium non est ὅτι ἀνεκοινώσατο τὰ ἐν αὐτῇ τοῖς συνωμόταις δουξί[41]. Τὸ πρόσωπον δὲ καὶ ὁ τόπος, ἐξ οὗ ὁ πάπας ἔμαθεν οὕτω πρωΐμως τὰ τῆς συμμαχίας ἄγει με ὑπολαβεῖν, ὅτι ὁ Αὐτοκράτωρ διὰ Βενετίας, τῆς μόνης Βυζαντινῆς ἐπαρχίας ἐν ἄνω Ἰταλίᾳ, ἐσκόπει ὀχυρῶσαι ἴσως τὰς στενὰς τῶν Ἄλπεων διόδους, ὅπως ἐμποδίσῃ Φράγκοις τὴν κάθοδον καὶ οὕτως ἐν πλήρει ἀνέσει διατάξῃ μετὰ Λογγοβάρδων τὰ Ἰταλικά· πρὸς τὸν σκοπὸν οὖν τοῦτον οὐκ ἀπίθανον, ὅτι οἱ αὐτοκρατορικοὶ πρέσβεις, οἱ τοῖς δουξὶ τὰ περὶ τούτου γνωρίσαι προπεμφθέντες, ἀφίκοντο Ὀκτωβρίῳ φθίνοντι εἰς Βενετίαν, τὸ μὲν πρὸς στρατολογίαν, τὸ δὲ ὅπως συλλαλήσωσι τῷ πλησιαίτατα ὄντι δουκὶ τοῦ Φορῳουλίου, ἐντεῦθεν δὲ καὶ τοῖς λοιποῖς· καὶ ὅτι Βενετοί, μυσαττόμενοι Εἰκονομάχους — οὕπω γὰρ ᾔδεισαν τὸ Χαζάρου ὀρθόδοξον φρόνημα, ὅπερ οὐκ ἦν Ὀκτωβρίῳ 775 οὐδὲ τοῖς ἐν Βυζαντίῳ ἐγνωσμένον — οὐκ ἐτήρησαν ἐν μυστηρίῳ τὰ ἐντεταλμένα· παρὰ τούτων δὲ μαθὼν τὰ σκοπούμενα Ἰωάννης ὁ Γράδων — κρημνισθεὶς βραδύτερον ὑπὸ τοῦ Δόγου ἐκ τοῦ πύργου τοῦ παλατίου αὐτοῦ ὡς Φράγκοις θέλων προδοῦναι τὴν Βενετίαν[42] — ἐγνώρισεν αὐτὰ τῷ πάπᾳ, ἄγνωστον ὅμως εἰ σαφῶς[43], ὡς μὴ σωζομένης τῆς γραφῆς αὐτοῦ[44].

---

caterva Grecorum et Adalgiso Desiderii filio et terrae marique ad dimicandum super nos irruant, *cupientes ... Langobardorum regem redintegrare et vestrae ... potentiae resistere.*" — 41 Cod. Carol. ep. 55. πρβλ. Abel αὐτόθ. 188. σημ. 3. Πλείω τούτων καὶ σφοδρότερα ἔγραψε κατὰ Λέοντος Ἀδριανὸς μικρὸν βραδύτερον· ἴδ. Cod. Carol. ep. 56. — 42 Ἴδε Döllinger Das Kaiserthum Karls des Grossen ἐν Münchener historischen Jahrbuch τοῦ 1865 σελ. 337. Κατωτ. § 39. σημ. 67. — 43 Τὰ ἐν τῇ σημ. 40 σαφῆ περὶ τῆς συμμαχίας καὶ τοῦ σκοποῦ αὐτῆς οἴδαμεν ἐκ μεταγενεστέρας παπικῆς γραφῆς· ἴδ. κατωτ. § 22. — 44 Abel αὐτόθ. 194 φαίνεται ὑπονοῶν, Venediger δέ, Versuch einer Darlegung der Beziehungen Karls d. Gr. zum Byzant. Reiche σελ. 11—14, Strauss, Beziehungen Karls d. Gr. zum Griech. Reiche ... σελ. 10, καὶ Harnack, Das Karolingische und das Byzant.

§ 21. Ἀλλ' ὅσον ἂν ἀορίστως καὶ ἀσαφῶς ἐγνώσθη τὰ τῆς συμμαχίας, Κάρολος κατεῖδεν ἐν ταῖς Ἰωάννου καὶ Ἀδριανοῦ γραφαῖς λίαν ἐπισφαλῆ τὴν ἐν Ἰταλίᾳ ἐξουσίαν αὐτοῦ. Πρὸς ἀποσόβησιν δὲ

Reich . . . σελ. 10 (πρβλ. καὶ Richter αὐτόθ. ann. 775. d. σελ. 59), διαρρήδην λέγουσιν, ὅτι τὸ Βυζάντιον συνεμάχησε τοῖς Λογγοβάρδοις δουξὶν ἐπὶ Κοπρωνύμου. Φαίνονται δ' ἔχοντες ὑπὲρ ἑαυτῶν τὸ μέν, ὅτι Βερώνης ἀλούσης, Ἄδαλγις "ad Constantinum Imperatorem se contulit," Annales Einhardi ann. 774. MG. SS. I.· τὸ δέ, ὅτι οὐ μακρὸν μετὰ τὸν Κοπρωνύμου θάνατον (14. Σεπτεμβρ. 775), ἤτοι πρὸ τῆς 27. Ὀκτωβρ. 775 ἀνεκοινώσατο ἐκ Βενετίας Ἰωάννης τῷ πάπᾳ τὰ τῆς συμμαχίας. Ἀλλὰ α'. ἄγνωστόν ἐστιν πότε ἀκριβῶς ἐάλω Βερώνη, εἰ μικρὸν ἤ, εἰ μακρὸν μετὰ τὴν Παυΐαν· καὶ β'. πότε ἀκριβῶς ἀφίκετο Ἄδαλγις εἰς ΚΠ. Ναὶ μὲν Einhard θέλει αὐτὸν Κοπρωνύμῳ προσπεφευγέναι, ἐάλω γὰρ Βερώνη τούτου βασιλεύοντος· Θεοφάνης 697 ὅμως τίθησι τὴν ἄφιξιν αὐτοῦ τῷ 34Φ μὲν ἔτει Κοπρωνύμου δηλ. τῇ γ'. Ἰνδικτ. (1. Σεπτεμβρ. 774—75), παραδόξως ὅμως μετὰ τὸν Κοπρωνύμου καὶ Καλίφου Ἀβδελλάχ θάνατον, συμβάντα Σεπτεμβρίῳ τῆς δ'. Ἰνδικτιῶνος. Ἐξ οὗ ἐστιν εἰκάσαι ὅτι Ἄδαλγις, τίς οἶδε ποῦ διατρίψας μετὰ τὴν Βερώνης ἅλωσιν (ἴδε Richter, αὐτόθι, ann. 773 σελ. 47 δεικνύντα ἐκ τῶν πηγῶν οὐ μικρὰν αὐτοῦ περιπλάνησιν), ἀφίκετο εἰς ΚΠ μετὰ τὴν 13. Αὐγούστου 775, δηλ. μετὰ τὸ ἐκστρατεῦσαι Κοπρώνυμον τὸ ὕστατον κατὰ Βουλγάρων. Θεοφάνης δέ, ἀρξάμενος ἱστορεῖν τὰ τῆς ἐκστρατείας, ἱστόρησε καὶ τὴν κατ' αὐτὴν Κοπρωνύμου τελευτήν, ἵνα μὴ διακόψῃ δηλονότι τὸ τῆς ἐκθέσεως νῆμα, καὶ εἶτα ἐμνήσθη καὶ τῆς ἐλεύσεως τοῦ "ῥηγὸς τῆς Λογγιβαρδίας". Ὥστε λέγων Θεοφάνης "τῷ βασιλεῖ προσέφυγεν" ἐννοεῖ, ὡς ἐμοὶ δοκεῖ, Χαζάρῳ οὐ Κοπρωνύμῳ. Ἄλλως τε καὶ ἀπόρως ἔχω πῶς Κοπρώνυμος, τέλεον μισήσας τὴν ὀρθόδοξον Ἰταλίαν ὅτε εἰρήνευεν ἐν Ἀνατολῇ, ὅτε ὁ ῥῆξ Δεσιδέριος προὔτεινεν αὐτῷ συμμαχῆσαι κατὰ Φράγκων (ἴδ. ἀνωτ. § 13), ὅτε ἐχθρὸς ἦν ὁ πάπας καὶ ὁ ἐν Φραγκίᾳ Πιπῖνος, ἔμελλε νῦν, ὅτε διαρκῶς ἐπολέμει πρὸς Βουλγάρους, ἐχθρὸς δ' ἦν ὁ Ἰταλίας κατακτητὴς φοβερὸς Κάρολος, ἀντιπαρατάξαι στόλον καὶ στρατόν, στερούμενος δὴ ἱκανοῦ, ἄνευ ἐλπίδος ἐπιτυχίας. Τὸ ὅτι δὲ 44 μόνον ἡμέρας μετὰ τὸ θανεῖν Κοπρώνυμον ἔμαθεν ὁ πάπας τὰ τῆς συμμαχίας, οὐκ ἄλλο δηλοῖ, εἰ μὴ ὅτι Χάζαρος ὡς τάχιστα καὶ προθυμότατα ἐπελάβετο τοῦ ἔργου ἅμα ἀφικομένου Ἀδάλγιδος. Εἰ δ' ὄντως ἀφίκετο οὗτος εἰς ΚΠ μετὰ τὴν 13. Αὐγούστου, ἐξέθετο δήπου Χαζάρῳ καὶ Εἰρήνῃ ἕτοιμα ἐκστρατείας σχέδια καὶ δὴ καὶ ὅτι συνεφώνουν αὐτῷ οἱ Λογγοβάρδοι δοῦκες. Χάζαρος δέ, συνθέμενος, καὶ

τοῦ κινδύνου ἐπολιτεύσατο ἀπαραμίλλως. Κατώρθωσε διελεῖν τοὺς δοῦκας καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὸν Αὐτοκράτορα, ὀργάνῳ ἐπιδεξιώτατα μεταχειρισάμενος τῷ πρὸς πάπαν μίσει τοῦ Σπολητίου δουκὸς Ἰλδεμβράνδου, ὅς, πρὸ ἐνιαυτοῦ ὡς ἔγγιστα ὑποταγεὶς αὐτῷ, ὅπως τὸ μὲν τὴν Δεσιδερίου ὂν ἐμίσει ἐπιταχύνῃ πτῶσιν, τὸ δὲ ἀποφύγῃ τὴν Καρόλου ἐξουσίαν, τίς οἶδεν οἵαις ἀξιώσεσι — παπικαῖς δή — νυχθήμερον ἠνωχλεῖτο. Κάρολος τοίνυν, μὴ φροντίσας τὸ παράπαν περὶ τῆς κυριότητος μὲν Ἀδριανοῦ, περὶ τῆς ὑπηκοότητος δὲ Ἰλδεμβράνδου, ἐπρεσβεύσατο εὐθὺ πρὸς τὸν τελευταῖον καὶ πάντως δήπου προσενεγκὼν αὐτῷ πλεῖον τοῦ ὃ ὑπὸ Ἀδριανὸν ἐκέκτητο, ἀνέπεισεν αὐτὸν ἀποστῆναι τῆς τῶν λοιπῶν συμμαχίας καὶ πολέμου ἀβεβαίου τέλους[45]. Οἱ αὐτοὶ δὲ πρέσβεις, ὁ ἐπίσκοπος Ποσσέσωρ καὶ ὁ ἀββᾶς Ῥαβιγαῦδος, εἰ καὶ ὁ πάπας, μαθὼν ὅτι ἀπεσκίρτησε τὸ Σπολήτιον, ἐδέετο αὐτῶν εἰς Ῥώμην ἐκ Σπολητίου ἐλθεῖν, διεμαρτύρετο δὲ καὶ ἐνεκάλει αὐτοῖς παρακοὴν τῆς Καρόλου ἐντολῆς, ὡς ἐφαντάζετο[46],

---

Κοπρώνυμον ἐπανακάμπτοντα ἀναπεῖσαι σκοπῶν, ἀπηλλάγη ὅλως τούτου θανόντος καὶ ὡς τάχιστα — φθίναντι δήπου Σεπτεμβρ. 775 — ἐπρεσβεύσατο διὰ Βενετίας τοῖς δουξίν. Οὐκοῦν οὐκ ἐπὶ Κοπρων. ἀλλ' ἐπὶ Χαζάρου ἡ συμμαχία Λογγοβάρδων καὶ Βυζαντίου. — 45 Abel αὐτ. 194, Venediger αὐτ. 13, καὶ Harnack αὐτ. 11. φρονοῦσιν ὅτι τελείως ὑπετάγη νῦν Ἰλδεμβράνδος Καρόλῳ. Ἀλλ' ὡς ἐμοὶ δοκεῖ, τὸ μὲν ἡ Καρόλου ἀνάγκη, τὸ δὲ ἡ νῦν Ἰλδεμβράνδου θέσις οὐκ ἐπιτρέπουσι τοιαύτην ὑποταγήν, ἀλλαγὴν δηλονότι κυριάρχου, ἀπὸ πάπα εἰς Κάρολον. Πολλῷ δὲ μᾶλλον πιστεύω, ὅτι ὁ ἀμηχανῶν Κάρολος, ὅπως ἀναπείσῃ Ἰλδεμβράνδον πρῶτον ἀποστῆναι τοῦ Συνδέσμου, οὐ μόνον ἀπήλλαξεν αὐτὸν τοῦ παπικοῦ ζυγοῦ, ἀλλὰ καὶ ἐποίησεν ἀνεξάρτητον ὅλως δοῦκα, ὀνόματι μόνον Φράγκοις ὑποκείμενον (πρβλ. καὶ Strauss αὐτ. 9), οὗπερ οὐκ ἂν ἐτύγχανε βεβαίως Ἰλδεμβράνδος, εἰ ἐξετελεῖτο ὁ τοῦ Συνδέσμου σκοπός, εἰ δηλ. ἀπεκαθίστατο ἐπὶ τοῦ Λογγοβαρδικοῦ θρόνου ὁ ῥὴξ ἐκεῖνος — ὁ Δεσιδερίου Ἄδαλγις — οὗ πολιορκουμένου ὑπὸ Καρόλου, ἀπέστη καὶ ὑπετάγη τῷ πάπᾳ. Νομίζω δ' ὅτι καὶ ἡ Καρόλου συναινέσει σκοπουμένη προσέγγισις Ἰλδεμβράνδου, ὡς ἀνεξαρτήτου δουκός, καὶ πάπα (ἴδ. ἐπομ. σημ.), ὡς καὶ ὁ τρόπος, καθ' ὃν ὑπεδέξατο αὐτὸν Κάρολος τῷ 779 ἐν Berciniaco (ἴδ. Annales Lauriss. maj. καὶ Einhardi ann. 779. πρβλ. καὶ Richter, αὐτ. ann. 779. b.) ὑπὲρ τῆς ἐμῆς γνώμης εἰσίν. — 46 Ἀδριανὸς ἀνέμενεν αὐτοὺς ἀνυπομόνως ἀπὸ Σεπτεμβρίου — Νοεμβρίου ἐκ Φραγκίας

μετέδησαν οὐδὲν ἧττον εὐθὺ εἰς Βενεβεντὸν[47] καὶ, ὡς τὰ πράγματα αὐτὰ ἀπαιτεῖ, ἐβεβαίωσαν τῷ δουκὶ Ἀρίχιδι, ὅτι ἡ ἀνεξαρτησία ἧς ἀπήλαυεν ὑπὸ Δεσιδέριον οὐ διεκινδύνευε Καρόλου αὐτὸν διαδεξαμένου, εἰ μόνον ἀφίστατο τῆς Χαζάρου συμμαχίας. Μὴ ἀπαιτήσαντες δὲ παρ' αὐτοῦ ἀναγνωρίσαι ὀνόματι τὴν Καρόλου κυριότητα, πολλῷ δὲ μᾶλλον εἰπόντες ὅτι Ἱλδεμβράνδος ἀμφότερα πεποίηκεν, ἔπεισαν αὐτὸν ἐνδοῦναι τό γε νῦν ἔχον[48], εἰ καὶ ἔμελεν αὐτῷ πολλῷ πλέον ἢ Ἱλδεμ-

---

εἰς Ῥώμην κατὰ ῥητὴν Καρόλου ὑπόσχεσιν (ἴδ. Cod. Carol. ep. 56, σελ. 185 σημ. 2. 3, σελ. 186 σημ. 1. τοῦ Jaffé), ὃς λαβὼν ἐν τῷ μεταξὺ τὴν ἐπιστολὴν τοῦ Γράδων Ἰωάννου, ἐνετείλατο αὐτοῖς σπεῦσαι εὐθὺ εἰς Σπολήτιον· εἶπον γὰρ οὗτοι τοῖς λεγάτοις τοῦ πάπα: tantummodo cum Hildibrando loquimur et deinde, *ut directi summus*, vobiscum apud — papam — conjugemus (Cod. Carol. ep. 57). Ἀδριανὸς μέντοι μὴ πεισθείς, αὐτοῖς μὲν ἔγραψεν: *ut directi estis* ad nos conjugere satagite· Καρόλῳ δὲ περὶ αὐτῶν: Relaxantes recto itinere ad nos conjugendum, *secundum qualiter a — vobis — directi fuerunt* . . . (αὐτόθι). Ἀλλ' οἱ πρέσβεις εἰς Βενεβεντὸν ἐκ Σπολητίου ἀπελθόντες (ἴδ. ἐπομ. σημ.) προσῆλθον ἐν τέλει τῷ πάπᾳ μετὰ τετελεσμένων γεγονότων: Ἱλδεμβράνδος ἀπέστη αὐτοῦ ἅπαξ διὰ παντός· ὁ δὲ πάπας ὤφειλε διάγειν μετ' αὐτοῦ ἐν εἰρήνῃ. Ὅπως δὲ θαῤῥήσας ὁ τέως ὑποτελὴς ἔλθῃ εἰς Ῥώμην πρὸς εἰρήνευσιν, ὤφειλεν ὁ τέως κύριος δοῦναι αὐτῷ ὁμήρους. Καὶ ἔδωκε μὲν ὁ πάπας, Ἱλδεμβράνδος ὅμως οὐ φαίνεται ἐλθὼν εἰς Ῥώμην. ἴδ. Cod. Carol. ep. 58. πρβλ. Abel αὐτ. 192. — 47 Cod. Carol. ep. 57: Nescimus quid pertractantes, *statim a Spoleto in Beneventum perrexerunt* nos in magnum dereliquentes ignominium. — 48 Ὅτι ὁ Βενεβεντοῦ Ἄριχις ἦν ἀνεξάρτητος ἐπὶ Δεσιδερίου τυγχάνει βέβαιον. ἴδ. Abel αὐτ. 298. Ὅτι δὲ νῦν ἀνεγνώρισε τυπικῶς, formell, τὴν Καρόλου κυριότητα ἐστὶ πλάνη τοῦ Hirsch, Papst Hadrian I. u. d. Fürstenthum Benevent ἐν Forschungen zur deutschen Geschichte XIII. σελ. 44, ἣν ᾠκειοποίησατο Strauss αὐτ. 9, βασιζομένη ἐπὶ βεβιασμένης ἑρμηνείας φράσεών τινων τοῦ πάπα πρὸς Κάρολον (Cod. Carol. ep. 62. 66. τὰ χωρία αὐτολεξεὶ κατωτ. § 33 σημ. 33, § 35. σημ. 49). Ἀπόρως δ' ἔχω πῶς Harnack αὐτ. 11. διὰ πολλῶν ἀνασκευάζων Strauss δύο τινὰ οὐ παρετήρησε: α'. ὅτι ἀναιρῶν Strauss 11. τὴν Gförer γνώμην, Byzant. Geschicht. I, 90. περὶ τῆς ἐν ἔτει 776 κατακτήσεως τῆς Ἰστρίας ὑπὸ Καρόλου, βασιζομένην ὡσαύτως ἐπὶ παρερμηνείας ὁμοίων παπικῶν φράσεων (ἴδ. κατωτ. § 49 σημ. 67), αὐτὸς ἑαυτὸν ἀναιρεῖ· καὶ β'. ὅτι τὴν Strauss γνώμην ὑπερήσπισε πρότερον

ὁράνδῳ περὶ τοῦ ἐν ΚΠ συγγενοῦς Ἀδάλγιδος. Εἰ δ' ἐκ Βενεβεντοῦ ἀπῆλθον οἱ πρέσβεις καὶ πρὸς τὸν Κλουσίου Ρεγινάλδον, οὐχ ἱστορεῖται. Ἐπειδὴ μέντοι κατ' αὐτὸ τοῦ καιροῦ βίᾳ ἀπέσπασεν οὗτος τοῦ πάπα τὸ φρούριον Felicitas, εὐλόγως εἰκάζεται ὅτι ἀπῆλθον κἀκεῖσε, καὶ ὅτι δαπάνῃ τοῦ πάπα ἔπεισαν καὶ αὐτὸν ἀποστῆναι τοῦ Συνοδέσμου[49]. Οὐχ οὕτως ὅμως εἶχε τὸ πρᾶγμα ὡς πρὸς τὸν Φοροϊουλίου δοῦκα Ῥοδογαῦδον, ὅς, ὑπὸ Καρόλου ἐγκαθιδρυθεὶς δουξ αὐτόθι[50], ὑπῆρξεν οὐδὲν ἧττον ψυχὴ τοῦ Συνοδέσμου[51]· ὡς ἐκ τῆς γεωγραφικῆς δ' αὐτοῦ θέσεως — μεταξὺ γὰρ ἦν τῶν Ἑλληνικῶν ἐπαρχιῶν Ἰστρίας καὶ Βενετίας, ὡς καὶ τῆς Βαυαρίας ἑτέρωθεν ὑπὸ τὸν λίαν ὕποπτον Καρόλῳ Θασσίλωνα[52] — ἐπικινδυνωδέστατος. Ἐπὶ

διὰ μακρῶν Hirsch ὡς ἀνωτ. οὗ τὴν πραγματείαν ἀγνοεῖ παραδόξως. — 49 Οὕτω φρονεῖ Abel αὐτ. 195. Καὶ νομίζω ὅτι ὀρθῶς. Ὁ δὲ ἰσχυρισμὸς τοῦ Venediger αὐτ. 13. σημ. 4 ὅτι Abel βαίνει ἐν τούτῳ zu weit ἀβάσιμος· τοῦ δὴ πάπα ὑπονοοῦντος τοιοῦτό τι ἐν τῷ γράφειν πρὸς Κάρολον: Nequaquam credimus . . . fili, . . . quod *pro* Reginaldi ducis *exaltatione mutationem fecisset* vestra regalitas· Cod. Carol. ep. 60, ὅπερ καὶ Cennius, Monumenta Dominationis Pontificiae I. 338. σημ. 6. οὕτως ἐκλαμβάνει. — 50 Annales Einhardi ann. 775. — 51 Τὰ Καρόλεια Χρονικά, δηλ. Laurissenses majores καὶ Einhardi, τούτου μόνου ἐκ τῶν δουκῶν τοῦ Συνδέσμου μνημονεύουσι καὶ οὐ μόνον ἀποδιδόασιν αὐτῷ τὴν πρωτοβουλίαν, ὡς Lauriss. 776: Hrogaudus *voluit Italiam rebellare*, ἀλλὰ καὶ πρὸς δικαιολογίαν, ὡς ἐμοὶ δοκεῖ, Καρόλου, ἀποκεφαλίσαντος αὐτόν, ὡς ὀψόμεθα, λέγουσιν ὅτι ἐπωφθαλμία τῷ βασιλικῷ στέμματι, ὡς Ann. Einhardi 776: Hruodogaudo, *qui regnum affectabat*, interfecto, ὅπερ ἀνάληθες, ὡς ἀντιβαῖνον τῷ τοῦ Συνδέσμου σκοπῷ, τῇ ἀποκαταστάσει δηλαδὴ Ἀδάλγιδος ἐπὶ τοῦ Δεσιδερίου θρόνου. — 52 Θασσίλων ἐξάδελφος ἦν Καρόλου, υἱὸς δηλ. τῆς Πιπίνου ἀδελφῆς Χιλτρούδης καὶ τοῦ Βαυαρίας δουκὸς Ὀδίλωνος (ἴδ. Oelsner Jahrbücher Pippins σελ. 296). Ἱστορεῖται δ' ὅτι Ὀδίλωνος θανόντος, ὁ ἐπταετὴς Θασσίλων ἠδυνήθη κατασχεῖν τὸν τοῦ πατρὸς θρόνον κατ' ἄλλων σφετεριστῶν μόνον τῇ ἐνόπλῳ Πιπίνου βοηθείᾳ, ὃς ἔκτοτε ἦν κύριος τῆς Βαυαρίας (ἴδ. Hahn Jahrbücher des fränkischen Reiches 115—17)· ἦν κυριότητα ἀνεγνώρισε μεθ' ὅρκου Θασσίλων ἐν τῇ βουλῇ τοῦ Compiègne τῷ 757 (Oelsner αὐτ. 302—6), ἐνιαυτὸν δὲ πρὸ τούτου συνεπολέμησε Πιπίνῳ κατὰ Λογγοβάρδων ἐν τῷ δευτέρῳ Ἰταλικῷ πολέμῳ (αὐτόθ. καὶ ἀνωτ. § 12 ἐν τέλει καὶ σημ. 169). Ἄγνωστον δὲ τὶ παθὼν τῷ 763, κατέλιπε Πιπῖνον

τοῦτον οὖν, τελείως νῦν μεμονωμένον, ἐστράτευσεν αὐτὸς Κάρολος ἀρχομένῳ 776 καὶ ἄφνω ἐπιπεσών, ἐκράτησε καὶ ἀπεκεφάλισεν αὐτόν[53], ὑπέταξε δ' ἐκ νέου τὰς δι' αὐτοῦ ἀποστάσας πόλεις τῆς ἄνω Ἰταλίας[54]. Ἐξ ὅλων δὲ μόνον Ταρβίσιον φαίνεται γενναίως ἀντιστὰν ὑπὸ τὴν ἀρχηγίαν Σταβιλινίου, πενθεροῦ Ῥοδογαύδου, ἀλλὰ καὶ ἡ ἐπίσημος αὕτη πόλις μετὰ πολιορκίαν οὐ μακρὰν ἑάλω προδοσίᾳ Ἰταλοῦ τινος Πέτρου, ὃν ἀνταμείβων Κάρολος, Βεροδούνου ἐπίσκοπον προὐβάλετο[55].

ἐν μέσῳ τῆς κατ' Ἀκυϊτανῶν ἐκστρατείας καὶ πανστρατιᾷ εἰς Βαυαρίαν ἐπανακάμψας, nusquam amplius faciem — Pippini — videre voluit (Lauriss. maj. 736. Oelsner 380). Τοῦ λοιποῦ ἦν ὅλως ἀνεξάρτητος καὶ ἱκανώτατα πολιτευόμενος, τὰ μάλιστα ἐπεμελεῖτο τῆς ἐξαπλώσεως τοῦ Εὐαγγελίου παρὰ τοῖς γείτοσιν αὐτοῦ ἐθνικοῖς (Oelsner 380. Abel 46). Δεδιὼς μέντοι μὴ ἐπιτεθῇ αὐτῷ Πιπῖνος, προσέκλινε τοῖς τούτου ἐχθροῖς Λογγοβάρδοις καὶ δὴ καὶ συνεζεύχθη τῇ θυγατρὶ τοῦ ῥηγὸς αὐτῶν Δεσιδερίου Λιουτπέργῃ (Abel 47—9). Καίπερ δὲ σφόδρα διὰ τοῦτο μισούμενος ὑπὸ τῶν Πιπίνου διαδόχων Καρόλου καὶ Καρολομάννου, ὅμως, ὅτε ἡ μήτηρ αὐτῶν Βέρθα συνεφιλίωσεν αὐτοὺς ἀλλήλοις καὶ Δεσιδερίῳ (ἀνωτ. § 14 σημ. 209), τὰ μάλιστα συνήργησεν αὐτῇ Θασσίλων παρὰ τῷ τελευταίῳ (Abel 54—6. 66). Καὶ ἐφ' ὅσον μὲν εἰρήνευε Κάρολος πρὸς Δεσιδέριον, συζευχθεὶς καὶ τῇ θυγατρὶ αὐτοῦ Δεσιδεράτῃ, εἰρήνευε καὶ πρὸς τὸν διτπῶς νῦν συγγενεύοντα Θασσίλωνα· ἀποπέμψας ὅμως τὴν γυναῖκα, πολεμήσας δ' εἶτα καὶ πανοικεὶ αἰχμαλωτίσας Δεσιδέριον, ὑπέβλεπε καὶ τὸν γαμβρὸν αὐτοῦ Θασσίλωνα, ὃς ἦν δὴ συγγενὴς τοῦ ἐν ΚΠ Ἀδάλγιδος καὶ τοῦ Βενεβεντοῦ Ἀρίχιδος, τῶν κατ' αὐτοῦ συνομοσάντων. — 53 Annales Mettenses ann. 776 (παρὰ Bouquet, scriptores rerum Gallicarum et Francicarum V. 342): Karolus improvisum Hrothgaudum cepit et decollari praecepit. Abel αὐτ. 196 θέλει αὐτὸν ἀναιρεθῆναι μαχόμενον· ἀλλὰ τὰ Καρόλεια Χρονικὰ οὐδὲν λέγουσι περὶ μάχης, οὐκ ἂν ἐσίγων δ' οὕτως ἐπιτυχοῦς οὔσης. Ἴδε τὰς ἐπὶ τῇ τοιαύτῃ ἀναιρέσει ὑποψίας καὶ αἰτιάσεις τοῦ Luden καὶ Gaillard παρὰ Abel αὐτ. σημ. 2. ὁμοίως Venediger αὐτ. 15. σημ. 5. ὃς οὐ φαίνεται ἀπιστῶν τοῖς Mettenses, ὧν ἡ μαρτυρία ἐπιρρώννυται ὑπὸ τοῦ Chron. Reginonis ann. 776. MG. SS. I. 558. Harnack αὐτ. 11. θέλει τὴν Ῥοδογαύδου στάσιν κατασταλῆναι nach hartem Kampfe. (!!!) — 54 Lauriss. maj. ann. 776. — 55 Hugonis Flaviniac. Chronicon ann. 776. MG. SS. VIII. 351: Cum obsideret exercitus Karoli in Taravisa ... civitate Stabilinum socerum Chrotgaudi ... erat in eadem

§ 22. Καὶ πῶς μὲν διετέθη τούτοις Ἀδριανὸς οὐ μέλει ἡμῖν τὸ παράπαν. Ἡ πρὸς Ἱλδεμβράνδον ὅμως ἔχθρα αὐτοῦ αἰτία γέγονε τοῦ γινώσκειν ἡμᾶς τί, οὗ ἄνευ ἡ δευτέρα τοῦ δράματος πρᾶξις ἦν ἂν αἰνιγματώδης. Οἷον δὲ τοῦτο; Ἐν τῷ ἀγωνιᾶν ἀναπεῖσαι Κάρολον, ὅτι Ἱλδεμβράνδος οὐκ ἦν ἄξιος τῆς ἧς ἔτυχε προστασίας, προέβη διαμφισβητῆσαι τὴν εἰλικρίνειαν αὐτοῦ, ὡς πλειστάκις περὶ τοῦ Ραβέννης Λέοντος ἐγεγράφει, ἀγγέλλων ὅτι, ἀναχωρησάντων ἐκ Σπολητίου τῶν Καρόλου πρέσβεων Ποσσέσορος καὶ Ῥαβιγαύδου, οἱ συνωμόται διαπρεσβευσάμενοι πρὸς Ἱλδεμβράνδον, συνώμοσαν, ἐκ νέου δήπου, κατὰ Καρόλου[56]. Καὶ ὅτι μὲν σκοπίμως ἔγραψε τοιάδε Ἀδριανὸς πρὸς βλάβην τοῦ τέως ὑποτελοῦς αὐτῷ πασιφανές ἐστιν. Ὅτι δὲ συνῆλθον δι' ἀπεσταλμένων ἐν Σπολητίῳ οἱ δοῦκες, πρὸς τὸ διαλῦσαι τὸν Σύνδεσμον, ὥς τισι δοκεῖ[57], οὐ δύναμαι ἀποδέξασθαι. Πολλῷ δὲ μᾶλλον ἡγοῦμαι, ὅτι συνῆλθον αὐτόθι Δεκεμβρίῳ 775[58], ἵνα συσκέψωνται περὶ τοῦ πῶς ἔμελλον αἰτιολογῆσαι τῷ Αὐτοκράτορι τὸ ἀποστῆναι τῆς συμμαχίας αὐτοῦ, καὶ ὑπισχνούμενοι, πιθανῶς, βοήθειαν ἐν εὐθετωτέροις καιροῖς ὑπὲρ τῆς παλινορθώσεως τοῦ ἰδίου αὐτῶν Λογγοβαρδικοῦ βασιλείου, προλάβωσι τὴν Ἀδάλγιδος μετὰ στόλου καὶ στρατοῦ ἔλευσιν proximo Martio mense κατὰ τὰ συμπεφωνημένα. Μόνον δ' ἕνεκα τῆς ἀποφάσεως ταύτης Ῥοδογαῦδος μὲν ἡσυχίαν ἦγε, διὸ καὶ κατέλαβεν αὐτὸν Κάρολος μετὰ δύο ὡς ἔγγιστα μῆνας improvisum[59], ὅπερ ἄλλως παράδοξον· Χάζαρος δ' οὐκ ἐξέπεμψεν Ἀδαλγιν εἰς Ἰταλίαν[60].

---

civitate Petrus, vir Italicus, a quo tradita est civitas et *ob hoc* de Virdunensi episcopatu honoratus est. Abel *αὐτ.* 196. *σημ.* 6. 7. *πολεμεῖ τὸ* Hugonis *ἀξιόπιστον καὶ προσκλίνει* Vertarius, gesta episcop. Virdunensium MG. SS. IV. 44, *τιθεμένῳ τὴν* Πέτρου *προδοσίαν καὶ τὴν* Καρόλου *ἀμοιβὴν κατὰ τὴν* Παυΐας *ἅλωσιν τῷ* 774. *Ἴδ. ἀνωτ.* § 14. *ἐν τέλει.* — 56 Cod. Carol. ep. 58: Missi Arigisi Beneventani seu Rodcausi Foroiulani nec non et Reginbaldi Clusinae civitatis ducum in Spoletio cum praefatum reperit (sc. Stephanus missus noster) Hildebrandum adhibentes adversus nos . . . *ὡς ἀνωτ. σημ.* 40. — 57 Ἴδ. *κατωτ. σημ.* 60. — 58 Cod. Carol. ep. 58. *σελ.* 192. *σημ.* 3 *τοῦ* Jaffé. — 59 Ἴδ. *ἀνωτ. σημ.* 53. — 60 Abel Jahrbücher 194 *σημ.* 3 *καὶ* Papst Hadrian I. u. d. weltliche Herrschaft d. römischen Stuhls *ἐν* Forschungen z. deutsch. Geschichte I. 488. *καὶ* Venediger *αὐτ.* 15. *φρο-*

§ 23. Εἰ μὴ διελύετο δ' οὕτως ἀπροόπτως ἡ συμμαχία, Χάζαρος δέ, συλλέγων τὰ ἐκ τῶν Κοπρωνύμου ματαίων ὡς τὰ πολλὰ πολέμων ἐναπομείναντα λείψανα χερσαίας καὶ θαλασσίας δυνάμεως[61], ἐξέπεμπεν Ἀδαλγιν κατὰ Καρόλου, ἐξετίθη ἂν ἀναμφιβόλως τὴν Αὐτοκρατορίαν εἰς διττὸν κίνδυνον· ἐν Ἰταλίᾳ μέν, διὰ τὸ ἀνεπαρκὲς τοῦ στρατοῦ ἔναντι τῶν Φράγκων· ἐν Ἀνατολῇ δέ, διὰ τὴν παντελῆ ἔλλειψιν τοιούτου κατὰ τῶν συχνάκις ἐπιπιπτόντων κατ' αὐτὸ τοῦ καιροῦ Ἀράβων. Ὥστε τρόπον τινά, ἡ Καρόλου σοφὴ ὑπὲρ ἑαυτοῦ πολιτεία ἐπωφελὴς ἀπέβη ἐμμέσως καὶ τῇ Αὐτοκρατορίᾳ ἐκ τῶν ὑστέρων κρινομένων τῶν πραγμάτων. Καὶ ἄνευ γὰρ τοῦ ἐκστρατεῦσαι εἰς Ἰταλίαν, ἐπειδὴ τῷ αὐτῷ ἀκριβῶς ἔτει "στρατεύματά τε ἐποίει

νοῦσιν ὅτι πρὸς διάλυσιν τοῦ Συνδέσμου συνῆλθον ἐν Σπολητίῳ διὰ τοποτηρητῶν οἱ δοῦκες· οὐδὲν δ' ἀπολύτως λέγουσι περὶ τῆς ἀνάγκης τοῦ γνωρίσαι Χαζάρῳ τὰ συμβάντα πρὸς πρόληψιν τῆς Ἀδάλγιδος στρατείας τῷ προσεχεῖ Μαρτίῳ. Φανταζόμενοι δ' αὐτοὺς οὕτως οἰκτρῶς πολιτευομένους, ἰσχυρίζονται ὅτι ὁ Κοπρωνύμου θάνατος (14. Σεπτεμβρ. 775) ἐνεπόδισε τὴν Ἀδάλγιδος ἔλευσιν. Κἂν τούτῳ δὲ συμφωνοῦσιν αὐτοῖς Strauss αὐτ. 10. καὶ Harnack αὐτ. 10. συνῳδὰ τῇ γνώμῃ αὐτῶν, ὅτι ἡ συμμαχία Λογγοβάρδων καὶ Βυζαντίου ἐπὶ Κοπρωνύμου ἐγένετο (οὐκ ἐπὶ Χαζάρου, ὡς ἐγὼ πιστεύω, ἀνωτ. § 20. σημ. 44), οὗ ὁ θάνατος ἐκώλυσεν ἂν τὰ πολεμικὰ αὐτοῦ σχέδια. Ἀλλὰ παραδοξώτατόν ἐστιν ὅτι Venediger 16. σημ. 6. καὶ Harnack αὐτόθ. πιστεύοντες ὅτι ὁ Κοπρωνύμου θάνατος ἐγνώσθη βεβαίως ἐν Ρώμῃ ἀρχομένῳ Φεβρουαρίῳ 776 ἐξ ἐπιστολῆς τοῦ ἐπισκόπου Νεαπόλεως Στεφάνου πρὸς τὸν πάπαν (ἴδ. Cod. Carol. ep. 60), οὐκ ὀκνοῦσιν ἰσχυρίζεσθαι, ὅτι ὁ θάνατος οὗτος ἀπεθάρρυνε τοὺς δοῦκας καὶ ὑπήκουσαν ταῖς Καρόλου προτροπαῖς Νοεμβρίῳ δήπου 775, Δεκεμβρίῳ δὲ 775 συνῆλθον ἐν Σπολητίῳ πρὸς διάλυσιν τοῦ Συνδέσμου. Strauss, 10. τολμᾷ δὴ ἰσχυρίζεσθαι, ὅτι ἡ ἐν ΚΠ συνωμοσία τῶν Κοπρωνυμιδῶν κατὰ Χαζάρου, γενομένη Μαΐῳ 776 (ἴδ. ἀνωτ. § 19) αἰτία ἐγεγόνει τοῦ ἀποσκιρτῆσαι τοὺς δοῦκας τοῦ Συνδέσμου κατὰ μῆνα Νοεμβρ.-Δεκεμβρ. 775!!! Ἐπαναλαμβάνω ὅτι ἡ συμμαχία συνήφθη ἐπὶ Χαζάρου· οἱ δὲ δοῦκες ᾔδεισαν, ὡς τὸ εἰκός, περὶ τοῦ Κοπρωνύμου θανάτου, ἐπ' ἴσης δὲ καὶ ὁ πάπας ἐκ nuntiis precurrentibus, ὡς Καρόλῳ ἔγραψε (Cod. Carol. ep. 60), οὐκ ἀνήγγειλεν ὅμως τοῦτο, εἰ μὴ ὅτε ἔλαβε τὴν Στεφάνου γραφήν. Τίνες δ' ἂν ἦσαν οἱ nuntii precurrentes? οὐχ οἱ Χαζάρου πρέσβεις, οἱ μετὰ τῶν δουκῶν τὴν συμμαχίαν συνάψαι ἐντεταλμένοι; — [61] Ἴδ. Θεοφ. 675. 693. πρβλ. Νικηφ. 134—35.

κατὰ θέμα πολλὰ καὶ τάγματα ἐπηύξανεν"[62], οὐκ ἠδυνήθη Λέων ἀντιμετωπίσαι Ἄραβας, οἳ τὴν Μικρὰν Ἀσίαν λεηλατήσαντες, ἀκωλύτως μετὰ πολλῆς αἰχμαλωσίας ὑπέστρεψαν[63]. Οὐχ οὕτως ὅμως τῷ ἑπομένῳ ἔτει, ὅτε οὐκ ἀνέμεινεν ἀμύνασθαι, ἀλλ' ἐπετέθη αὐτοῖς πρὸς ἀνάκτησιν τῆς περιφήμου Γερμανικείας, ἣν ἀνακτησάμενος Κοπρώνυμος ἀπολέμως, ὅτε πρὸς ἀλλήλους ἤριζον Ἀββασῖδαι καὶ Ὁμιϊάδαι, οὐκ ἴσχυσε κρατῆσαι αὐτῆς ἐπὶ μακρόν[64]. Κατὰ τῶν αὐτόθι οὖν ἐστρατοπεδευμένων Ἀράβων ἀπέλυσε Χάζαρος ἑκατὸν χιλιάδας ἄριστα συντεταγμένου στρατοῦ καὶ ἐπολιόρκησεν αὐτούς[65]. Ἀτυχῶς μέντοι τῆς στρατιᾶς ἡγεῖτο Μιχαὴλ ὁ Λαχανοδράκων, Κοπρωνύμου ἑταῖρος καὶ ὁμότροπος, ὠμότατος δ' ἐν τῷ διώκειν τὴν Ἐκκλησίαν καὶ βανδαλικῶς καταστρέφειν τὰ πατρῷα κειμήλια διὰ τοῦ δημεύειν καὶ πυρπολεῖν τὰς βιβλιοθήκας τῶν Μονῶν, ἐξ οὗ ἔργου τίς οἶδεν ὁπόσα προσεπορίζετο σφετεριζόμενος. Τὸ οὕτω πλουτεῖν ὅμως παρελυμήνατο ἀνεπιστρεπτὶ Κοπρωνύμου ἐκλιπόντος, ἢ πολλῷ μᾶλλον Εἰρήνης τὴν Πολιτείαν οἰακοστροφούσης. Ὁ δὲ ἥρως τῆς Εἰκονομαχίας οὐκ ὤκνησε προδότης γενέσθαι πρὸς ἴδιον πλουτισμόν· χρυσίον λαβὼν παρὰ τοῦ Ἄραβος στρατηγοῦ, ἦρε τὴν πολιορκίαν τῆς πόλεως κατὰ τὴν ἐπικειμένην, ἐκ πείνης δήπου, ἄλωσιν αὐτῆς καὶ ποῖ μετέβη; Ἀπῆλθεν

---

62 Θεοφ. 695. — 63 Θεοφ. 698: "εἰσῆλθε Θουμάμας εἰς Ῥωμανίαν καὶ λαβὼν αἰχμαλωσίαν ὑπέστρεψε". Τίθεται δὲ ἡ ἐπιδρομὴ τῷ ϛ΄. ἔτει Λέοντος (ἴδε ἔκδ. de Boor σελ. 451) ἤτοι τῇ ιέ. Ἰνδικτ. 1. Σεπτεμβρίου 776—77 καὶ οὐ φαίνεται οὐδ' ἐκ τῶν Ἀραβικῶν Χρονικῶν πότε ἀκριβῶς ἐγένετο, φθινοπώρῳ 776, ἢ θέρει 777. Πρὸ αὐτῆς δ' ἀναφέρεται καὶ ἄλλη (Θεοφ. 694) ἐν ἀρχῇ τῆς ιδ΄. Ἰνδικτ. (775—76) κατὰ τὸν Κοπρωνύμου θάνατον, καθ' ἣν Ἀβασβαλί (Abbas-ibn-ali) "ἐπελθὼν μετὰ δυνάμεως πολλῆς, ἤνοιξε τὸ σπήλαιον, τὸ ἐπιλεγόμενον Κάσιν ἀπὸ καπνοῦ" καὶ ἠλευθέρωσε τοὺς ἐν αὐτῷ Ἄραβας αἰχμαλώτους. Κατὰ τοὺς Ἄραβας δὲ Χρονογράφους παρὰ Weil, Geschichte der Kalifen τόμ. II. σελ. 97. παρέλαβε νῦν καὶ τὴν Ἄγκυραν· οὐ μέντοι τὴν ἐν Γαλατίᾳ, οὐδὲ τὴν ἐν Φρυγίᾳ, ἀλλὰ τρίτην τινά, ἴσως μεταξὺ Ταρσοῦ καὶ Ἰκονίου. Ἴδ. Weil αὐτ. 312. σημ. 2. — 64 Ἴδ. ἀνωτ. § 10. σημ. 100. α΄. Πρβλ. Gibbon κεφ. 52: "Wars of Harun-al-Rashid against the Romans" καὶ Schlosser, Geschichte der Bilderstürmenden Kaiser σελ. 212. — 65 Θεοφ. 698. Τὰ Ἀραβ. Χρονικὰ Weil, II. 98. θέλουσι τὸν Ῥωμαϊκὸν στρατὸν 80,000.

αἰχμαλωτίσων τοὺς αἱρετικοὺς Ἰακωβίτας. Καὶ ἐπέστρεψε μὲν βραδύτερον[66]· οἱ Ἄραβες ὅμως πορισάμενοι ἐν τῷ μεταξὺ τὰ πρὸς τὸ ζῆν καὶ τὰ τείχη ὀχυρώσαντες, ἴσχυσαν κρατῆσαι αὐτῆς καὶ μετὰ τὸ ἡττηθῆναι· ἦτταν δ' οὕτω δεινήν, ὥστε οὔτε οἱ Ἄραβες Χρονογράφοι ἐτόλμησαν παρασιωπῆσαι ἢ παραμορφῶσαι τὸ γεγονός, οὔτε Χάζαρος ἔλλειψε πομπωδῶς ἑορτάσαι τὰ ἐπινίκια[67].

§ 24. Καὶ ὅμως οἱ Ἄραβες ἔζων ὅπως μάχωνται· οὐκ ἀνέστελλεν ἄρα τὴν αὐτῶν ὁρμὴν οὔτε τὸ νικᾶν, οὔτε τὸ ἡττᾶσθαι. Καὶ νικῶντες μέν, ἐθάρρουν καὶ λυσσωδῶς ἐπανέπιπτον πρὸς ἐξόντωσιν τοῦ πολεμίου· ἡττώμενοι δέ, ἐμαίνοντο κατὰ τοῦ νικητοῦ. Εἴτε οὖν οὕτως, εἴτε ἄλλως, Ῥωμαῖοι ἐπ' ἴσης ἔπασχον νικῶντές τε καὶ ἡττώμενοι καὶ τὸ δὴ χεῖρον συνέπασχον αὐτοῖς καὶ οἱ τοῖς κατακτηταῖς ἐν Συρίᾳ, Παλαιστίνῃ, Αἰγύπτῳ καὶ Ἀφρικῇ δουλεύοντες ὁμόφυλοι. Οὕτω δ' ἀπαραλλάκτως συνέβη καὶ μετὰ τὸν πόλεμον τοῦ 778. "Θυμωθεὶς ὁ τῶν Ἀράβων ἀρχηγὸς Μαδί, πέμπει τὸν Ἀσᾶν μετὰ δυνάμεως πολλῆς καὶ κατῆλθεν ἕως Δορυλαίου." Ἐκ Βυζαντίου ὅμως τῶν ἀνωτέρω λόγων ἕνεκεν, "ὁ βασιλεὺς διετάξατο τοῖς στρατηγοῖς μὴ πολεμῆσαι αὐτοὺς δημόσιον πόλεμον, ἀλλ' ἀσφαλίσασθαι τὰ κάστρα καὶ λαὸν εἰσενεγκεῖν πρὸς παραφυλακὴν αὐτῶν ... καὶ προκαίειν πυρὶ τάς τε νομὰς τῶν ἀλόγων καὶ εἴπου εὑρίσκοιτο δαπάνη." Καὶ τὸ σοφὸν δὲ τοῦτο στρατήγημα οὐχ ἥμαρτε τοῦ σκοποῦ. Λιμώξαντες γὰρ οἱ πολέμιοι σὺν τοῖς κτήνεσιν αὐτῶν καὶ μὴ δυνάμενοι μήτε πολιορκίαν στῆσαι, μήτε πορθῆσαι φρούριόν τι, ἥψαντο τῆς εἰς τὰ ἴδια ἄνευ ῥανίδος Ῥωμαϊκοῦ αἵματος[68], ὅπερ οὐδὲν ἧττον ἀφθόνως ἔρρευσεν ἐν ταῖς ὑπὸ Ἄραβας χώραις κατὰ τὸν ἐπακολουθήσαντα τῇ δευτέρᾳ ταύτῃ ἀποτυχίᾳ διωγμόν· διωγμὸν δὲ δεινὸν καὶ μοναδικὸν

66 Θεοφ. 698: "ἤμελλον παραλαμβάνειν καὶ τὴν Γερμανίκειαν, εἰ μὴ διὰ δώρων ἔπεισε τὸν Λαχανοδράκοντα ὁ Ἰσβααλὶ (Isa-ibn-ali) καὶ ἀνεχώρησε τοῦ κάστρου ... καὶ αἰχμαλωτεύσας τούς ... Ἰακωβίτας ... πάλιν ὑπέστρεψεν ἐν τῷ κάστρῳ." — 67 Αὐτόθι. "καὶ ἔπεσον πέντε ἀμηράδες καὶ δύο χιλιάδες Ἄραβες, ὡς φασιν ... ὁ δὲ βασιλεὺς ποιήσας Μαϊουμᾶν ἐν Σοφιαναῖς, ἐκάθισεν ἐπὶ σένζου μετὰ τοῦ υἱοῦ αὐτοῦ καὶ οὕτως ἐθριάμβευσαν οἱ στρατηγοὶ τὰ ἐπινίκια." Ἴδε καὶ Weil, II. 98. — 68 Θεοφ. 699—700, τῷ δ'. ἔτει Λέοντος ἤτοι δ'. Ἰνδικτ. 778—79. Ὁ Ἀσᾶ ἡγεῖτο 80,000 Ἀράβων Weil, II. 98.

ἐν τοῖς Ἀράβων[69]. Ἐν τῷ διώκειν δὲ τὸ ὑπήκοον ἀπέστειλε Μαδὶ Ἀαρών τὸν υἱὸν αὐτοῦ κατὰ τῆς Αὐτοκρατορίας, ὅπως διττῶς, ὡς εἰπεῖν, πολεμῇ τὸ Ῥωμαϊκόν[70]. Ἀλλὰ καὶ ἐκ τρίτου οὐδὲν ἤνυσεν· ὁ μὲν γὰρ Ἀαρὼν δι' ὅλου τοῦ θέρους 780 πολιορκῶν τὸ ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν φρούριον Σημαλοῦος, μόλις Σεπτεμβρίῳ παρέλαβεν αὐτὸ "ὑπὸ λόγον," Θουμάμας δὲ μετὰ 50,000 τὴν Ἀσίαν λεηλατῶν, ἡττήθη ὑπὸ Ῥωμαίων καὶ τὸν ἀδελφὸν ἀπολέσας ἐν τῇ μάχῃ[71].

§ 25. Οὕτω σοφῶς ἐπολιτεύετο Χάζαρος ἐφ' ὅσον ὑπὸ Εἰρήνης διῳκεῖτο, ἧς ὁμοίας πράξεις ἔν τε τῇ ἐσωτερικῇ καὶ τῇ ἐξωτερικῇ, ὡς εἰπεῖν, πολιτικῇ πολλὰς ὀψόμεθα ἐφεξῆς. Συνέβη τι ὅμως τῷ ἔαρι τοῦ 780, ὅπερ ἄρδην μετέβαλε τὰ πράγματα ἐν Βυζαντίῳ. Μετὰ τὸ οἰκτρότατον τοῦ πατριάρχου Κωνσταντίνου τέλος[72] τὸν Πρωτοκλήτου θρόνον κατέλαβε Σλάβος τις ἐκτομίας, Νικήτας ὀνόματι, οὕτως ἀμαθής, ὥστε οὐδ' ἀναγνώσεως ἦν ἐπιστήμων[73], ὅστις, ζῶντος μὲν Κοπρωνύμου, ἀπέξεε ἀπὸ τῶν τοίχων τοῦ Πατριαρχείου πᾶν εἰκόνισμα, οὗ ἐφείσαντο οἱ πρὸ αὐτοῦ δύο εἰκονομάχοι πατριάρχαι[74]· Εἰρήνης δὲ κυβερνώσης ἐπὶ Χαζάρου, προὐβάλλετο χειροτονῶν ὀρθοδόξους Μητροπολίτας ἐκ τῶν ἀββάδων, μηδ' αὐτὸν τὸν τῆς ὀρθοδοξίας πρόμαχον Πλάτωνα ὑστερήσας πρὸς τοῦτο καλέσαι[75], καθ' ὃ γνήσιος ὀπαδὸς καὶ διάδοχος Ἀναστασίου καὶ Κωνσταντίνου ἐν τῇ ἀσταθίᾳ τοῦ χαρακτῆρος[76]. Καὶ οὗτος μὲν τέθνηκε τῇ 6. Φεβρ. 780[77]. Εἰρήνη δ' ὀρθόδοξον ἐκλέξαι κατώρθωσε πατριάρχην, Παῦλον τὸν ἐκ τῆς Κυπρίων νήσου. Καὶ ὅτι μὲν ἠγωνίσατο αὕτη πεῖσαι Χάζαρον, ὥστε μὴ ὁμόσαι Παῦλον ὅτι οὐ προσκυνήσει εἰκόνας, πάσης κεῖται ἀμφιβολίας ἐκτός· ὅτι δὲ Χάζαρος, φόβῳ ἴσως τῶν Εἰκονομάχων, οὐκ ἐνέδωκε τῇ αὐτῆς αἰτήσει, καθάπερ ἐν τῇ χειροτονίᾳ τῶν μακρὰν Βυζαντίου ἐγκαθισταμένων μητροπολιτῶν, δῆλον γίγνεται ἐκ τῆς βίας, ἣ ἐπὶ Παύλου ἠσκήθη, ὑπὸ Εἰρήνης

---

69 Θεοφ. 700—1, τῷ ε'. ἔτει Λέοντος, γ'. Ἰνδικτ. 779—80. πρβλ. Gibbon, κεφ. 51, Arab toleration of the Christians and their hardships. — 70 Θεοφ. 700. — 71 Θεοφ. 702. Weil, II. 99. Barhebraei Chron. Syriac. 135. — 72 Θεοφ. 681—3. — 73 Θεοφ. 680. Ζωναρ. XV. § 7. Μιχαὴλ Γλυκᾶ, Βίβλος Χρονικὴ IV. 527. — 74 Θεοφ. 686. — 75 Ἰδ. ἀνωτ. § 18 σημ. 30. — 76 Τοὺς ἄθλους αὐτῶν παρὰ Θεοφ. 630. 640. 648. 675. 677—78. 681—83. Ἰδ. καὶ κατωτ. § 55. σημ. 53. — 77 Θεοφ. 701.

δήπου, πρὸς τὸ δέξασθαι τὴν ἐπισκοπήν[78], καὶ ἐκ τοῦ ὅτι ὄντως ὤμοσε τὸν ἐπὶ Κοπρωνύμου θεσπισθέντα ὅρκον[79], καὶ οὕτως ἀπὸ ἀναγνώστου ἐχειροτονήθη διαδοχικῶς οἰκουμενικὸς πατριάρχης. Ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ γεγονός, ὅτι ὀρθόδοξος πατριάρχης οὐκ ὤκνησεν ὀμόσαι ὅτι οὐ προσκυνήσει εἰκόνας ἄνευ βεβαίως τοῦ μεταβαλεῖν πίστιν, ἴσως δὲ καὶ ἄνευ τοῦ παῦσαι προσκυνεῖν αὐτὰς ἐν κρυπτῷ, λίαν ἀνεπτέρωσε τὸ ὑπὲρ τῆς Ὀρθοδοξίας φρόνημα ἐκείνων, ὅσοι μόνον διὰ τὸ ὁμωμοκέναι οὐ προσεκύνουν τὰ ἀντικείμενα τοῦ σεβασμοῦ καὶ τῆς ἀγάπης αὐτῶν, ὅπως μὴ ἐπιορκήσωσι δηλονότι. Τοὐντεῦθεν τοίνυν οὐκ ἐτύπτοντο τὸ συνειδὸς οἱ βουλόμενοι καὶ ἐν τοῖς ἐξωτερικοῖς τῆς λατρείας τύποις ἐν κρυπτῷ ὀρθοδοξεῖν, κἂν τούτοις τακτέα πρώτη αὐτὴ ἡ ὀμόσασα πρὸ τῆς Στέψεως αὐτοκράτειρα σὺν τοῖς ὑπουργοῖς τοῦ Παλατίου, οἳ αὐθωρεὶ ἤρξαντο σεπταῖς εἰκόσι χρώμενοι ἐν ταῖς κατ' ἰδίαν πρὸς Θεὸν ἐντεύξεσιν τῇ πρὸ τοῦ Πάσχα Τεσσαρακοστῇ. Τῇ μέσῃ ὅμως τῆς Νηστείας ταύτης ἑβδομάδι, τουτέστιν ἀρχομένῳ Μαρτίῳ, καὶ δὴ δέκα περίπου ἡμέρας μετὰ τὴν Παύλου χειροτονίαν, εὗρε Χάζαρος "ἐν τῷ προσκεφαλαίῳ Εἰρήνης τῆς γυναικὸς αὐτοῦ εἰκόνας δύο" αἷς ἐχρῆτο, ὡς δοκεῖ, εὐχόμενον τὸ φιλόθεον γύναιον, καὶ οὕτως ὠργίσθη αὐτῇ ὡς ἐπιόρκῳ, ὥστε σφοδρότατα ἐλέγξας, πᾶσαν διέκοψε μετ' αὐτῆς συζυγικὴν σχέσιν καὶ ἀπέπεμψε τοῦ Παλατίου[80]. Ἔμεινεν

---

78 Θεοφ. 701: "τῇ δευτέρᾳ Κυριακῇ τῶν Νηστειῶν (19. Φεβρ. 780) Παῦλος ὁ τίμιος, ἀναγνώστης ὑπάρχων, Κύπριος τῷ γένει, λόγῳ καὶ πράξει διαλάμπων, μετὰ πολλὴν παραίτησιν διὰ τὴν κρατοῦσαν αἵρεσιν, βίᾳ πολλῇ χειροτονεῖται πατριάρχης ΚΠ." — 79 Θεοφ. 708. Ἴδ. κατωτ. § 49. — 80 Τὸ ἐπεισόδιον τοῦτο ἐθεωρεῖτο μέχρι τοῦ νῦν μόνον ἐπὶ τῆς Κεδρηνοῦ, Χρον. Π. 19. μαρτυρίας βασιζόμενον. Ἴδ. Walch, Historie der Ketzereien, X. 478, Schlosser αὐτ. 258, Hefele αὐτ. III. § 344 ἐν τέλει. Οὐχ οὕτως ὅμως. Μνημονεύει γὰρ αὐτοῦ πρῶτος Λέων ὁ Γραμματικός, Χρονογραφ. ἔκδ. Βόνν. 192, πολλῷ Κεδρηνοῦ ἀρχαιότερος (Ἴδ. Hirsch, Byzant. Studien 89. 375 . . .) καὶ ἀξιοπιστότερος, οὗ τὴν μαρτυρίαν ὀλίγον τι συμπληρῶν, φαίνεται Κεδρηνός. Λέγει γὰρ Λέων: "τὴν γυναῖκα αὐτοῦ ἐξουδενώσας, ἀπώσατο μὴ ἐγνωκὼς αὐτὴν ἔτι". Κεδρηνὸς δέ: "τὴν γυναῖκα αὐτοῦ Εἰρήνην σφοδρῶς ἐπιπλήξας ἐξουδένωσεν εἰπών: οὕτως ὤμοσας τῷ πατρίμου τῷ βασιλεῖ ἐπὶ τῶν φρικτῶν καὶ ἀχράντων τῆς πίστεως μυστηρίων; αὐτὴ δὲ διϊσχυρίσατο μὴ ἐωρακέναι αὐτάς· αὐτὸς οὖν ἀπώσατο αὐτὴν μὴ ἐγνωκὼς αὐτὴν ἔτι."

ὅμως Χάζαρος ἄνευ πηδαλίου τοῦ λοιποῦ! Καὶ ὡς μὲν κατὰ κρημνῶν ἔδη ἐν τοῖς πολιτικοῖς, ἐν τῷ ἑπομένῳ ὀψόμεθα κεφαλαίω[81]· ἐν τοῖς ἐκκλησιαστικοῖς δέ, Κοπρωνύμειοι ἀνέτειλαν ἡμέραι ἐν Βυζαντίῳ. "Απαντες οἱ ἐν τοῖς βασιλείοις προσκυνοῦντες εἰκόνας ἐκρατήθησαν, ἀνηλεῶς ἐμαστιγώθησαν, τὴν κόμην ἀφῃρέθησαν, δεσμοῖς ἐπεδήθησαν, διὰ τῶν ὁδῶν πρὸς περίγελων ἑπομπεύθησαν καὶ ἐν τῷ Πραιτωρίῳ ἐν τέλει καθείρχθησαν, ὅπου εἷς ἀπέθανεν "ὁμολογητὴς γενόμενος καὶ τὸν στέφανον τοῦ μαρτυρίου κομισάμενος"[82]. Παραδόξως δ' ἐκινήθη ὁ διωγμὸς ἀκριβῶς ὅτε ἐδιώκετο τὸ ὁμόφυλον ἐν ταῖς ὑπὸ "Αραβας χώραις, ἵνα καὶ ἐκπνέουσα ἡ Εἰκονομαχία δείξῃ καὶ πόθεν κατήγετο καὶ οἵας εἶχεν ἀρχάς. Ἀλλὰ Χάζαρος οὐκ ἔστιν ἐν τούτῳ· ἀλλ' ὡς δοκεῖ, ἠβουλήθη τὸν τοκέα ἀπομιμήσασθαι ἐν τῇ συλήσει τῶν Ἐκκλησιῶν. Ταχὺ ὅμως κατενόησεν ὅτι ἐν τοῖς Ναοῖς οὐδὲν ὑπελείπετο συλήσιμον, εἰμὴ τὸ ἄνωθεν τοῦ θυσιαστηρίου τῆς ἁγίας Σοφίας ἀπῃωρημένον "ὑπέρτιμον" στέμμα τοῦ Μαυρικίου[83]. Τοῦτο οὖν τὸ στέμμα, τὸ ἀπ' αἰώνων δύο ὡς ἔγγιστα τῷ Θεῷ ἀφιερωμένον, οὗ ἐφείσατο ἡ Ἰσαύρου καὶ Κοπρωνύμου ἀπληστία, ἐτόλμησε Χάζαρος σφετερίσασθαι. "Λιθομανὴς δ' ὑπάρχων" ἐπέθηκεν αὐτὸ τῇ κεφαλῇ καὶ προῆλθε, "μὴ οὔσης δεσποτικῆς ἑορτῆς"[84]. Ἀσθενὴς δ' ὢν σωματικῶς[85], καὶ πρὸς ἐπίδειξιν τοῦ τε στέμματος καὶ τοῦ φρονήματος μακρόν, ὡς δοκεῖ, τὴν βασιλεύουσαν περιελθών, κατελήφθη ἐπιστρέψας

---

81 Ἴδ. κατωτ. §§ 34. 35. — 82 Θεοφ. 701: "τῇ δὲ μέσῃ ἑβδομάδι τῶν Νηστειῶν ἐκρατήθη Ἰάκωβος πρωτοσπαθάριος, καὶ Παπίας, καὶ Στρατήγιος, καὶ Θεοφάνης οἱ κουβικουλάριοι καὶ παρακοιμώμενοι, Λέων τε καὶ Θωμᾶς κουβικουλάριοι καὶ οὗτοι σὺν καὶ ἑτέροις εὐλαβέσιν ἀνδράσιν ὡς προσκυνοῦντες τὰς σεπτὰς εἰκόνας. Τότε ἀπογυμνώσας τὴν ἑαυτοῦ ἐγκεκρυμμένην κακίαν Λέων, ὁ τοῦ διώκτου υἱός, τούτους ἀνηλεῶς δείρας . . ." Ὁ ἀποθανὼν ἦν ὁ Θεοφάνης· οἱ δὲ λοιποὶ ἐμόναζαν βραδύτερον κατὰ Θεοφάνη αὐτόθ. Κατὰ Γεώργιον μοναχόν 660 ὅμως καὶ Λέοντα Γραμμ. 192 "λαθραίως ἀνῃρέθησαν ἅπαντες." — 83 Ἴδ. περὶ τούτου Θεοφ. 433. Σφάλλεται δὲ Walch, X. 500 θέλων Ἡράκλειον ἀφιερῶσαι αὐτό, πάντως ὑπὸ Κεδρηνοῦ II, 20. ἀποπλανηθείς. — 84 Ἴδ. Κωνσταντ. Πορφυρογενν. πρὸς τὸν υἱὸν Ῥωμανὸν (de administrando Imperio) κεφ. 13. σελ. 83, τόμ. III. ἔκδ. Βόνν. — 85 Δῆλον γίγνεται ἐξ ὅσων εἴρηκε τῷ λαῷ περὶ τοῦ "μήπως συμβῇ αὐτῷ τὸ ἀνθρώπινον" Θεοφ. 695. πρβλ. Gibbon ὡς ἀνωτ. σημ. 25.

οἵκαδε σφοδροτάτῳ πυρετῳ, καὶ ἴσως τῷ ἐξ οὗ Κοπρώνυμος ἐτεθνήκει ἄνθρακι[86], καὶ τούτῳ ἐφ' ἱκανὸν χρόνου συνεχόμενος, ἀπέθανε τῇ ή. Σεπτεμβρίου τῆς δ'. Ἰνδικτ. ἤτοι 780. Τὸ μέγεθος δὲ τοῦ τολμήματος ἐξ ἑνός, ἡ εὐσέβεια δὲ τοῦ λαοῦ ἐξ ἑτέρου, τῇ ἱεροσυλίᾳ ἀπέδωκαν, ὡς τὸ εἰκός, τὴν νόσον καὶ τὸν θάνατον αὐτοῦ[87].

---

86 Θεοφ. 693. ἰδίᾳ δὲ Νικηφ. 133. 135. καὶ ἐφεξῆς. — 87 Θεοφ. 702: "Τῇ ή. τοῦ Σεπτεμβρ. μηνὸς τέθνηκε Λέων ... τρόπῳ τοιῷδε: λιθομανὴς ὑπάρχων λίαν ἠράσθη τοῦ στέμματος τῆς μεγάλης ἐκκλησίας καὶ λαβὼν ἐφόρεσεν αὐτό. Καὶ ἐξῆλθον ἄνθρακες ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ληφθεὶς σφοδρῷ πυρετῷ τέθνηκε." Γεωργίου μοναχοῦ (ἀμαρτ.) 660: „ἐφόρεσεν αὐτὸ καὶ προῆλθεν· ὑποστρέψαντος δέ, ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ καὶ οὕτω σφοδροτάτῳ πυρετῷ συνεχόμενος καὶ φθειρόμενος ἀπέδωκε τὴν ψυχὴν αὐτοῦ." Κεδρην. II, 20. "Ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ καὶ ... πυρετῷ συνεχόμενος τὴν ψυχὴν ἀπέρρηξε τῆς ἱεροσυλίας κομισάμενος τὰ ἐπίχειρα." Κωνσταντ. Πορφυρογενν. ὡς ἐν σημ. 84. „τοῦτο περιεβάλετο καὶ εὐθέως ἄνθρακα ἐπὶ τοῦ μετώπου ἐκβαλὼν καὶ ταῖς ἐκ τούτου ὀδύναις κατατρυχόμενος κακεγκάκως ἀπέρρηξε τὸ ζῆν." Ὁμοίως δὲ καὶ οἱ ἐφεξῆς Χρονογράφοι. Καὶ πότε μὲν ἐγένετο ἡ τοῦ στέμματος ἁρπαγή, οὐχ ἱστορεῖται· τακτέα ὅμως οὐ μακρὸν μετὰ τὸν διωγμόν, ἐν τῇ ἀκμῇ δηλονότι τῆς κατ' Ὀρθοδόξων ὀργῆς αὐτοῦ. Ἄλλως τε καὶ τὰ τῶν Χρονογράφων: "σφοδροτάτῳ πυρετῷ συνεχόμενος καὶ φθειρόμενος," καὶ "ταῖς ἐκ τοῦ ἄνθρακος ὀδύναις κατατρυχόμενος ἀπέρρηξε τὸ ζῆν", σημαίνει ὅτι οὐ βραχὺν χρόνον πρὸ τοῦ θανάτου ἔκαμνε Χάζαρος. Τούτου δὲ βεβαίου ὄντος, σαφέστατόν ἐστιν ὅτι οὐκ ἀπέθανεν αἰφνιδίως, ὅπερ νεώτεροί τινες ἐξήγαγον ἐκ τοῦ Θεοφάνους, παρερμηνεύοντες αὐτόν, ὡς εἰ ἔλεγεν ὅτι: τῇ ή. Σεπτ. ἔλαβε τὸ στέμμα καὶ οὐχί: τέθνηκεν ἕνεκα τῆς ἱεροσυλίας, ἧς οὐ δίδωσι τὸν χρόνον. Ἑπομένως ὁ ἰσχυρισμὸς τῶν Ἱστορικῶν Spanheim, Basnage, Semler καὶ Mosheim (παρὰ Walch X. 500—1 σημ. 2.) ὅτι οὐκ ἐκ θαύματος τὸ αἰφνίδιον τοῦ θανάτου, ἀλλ' ἐκ ὀραστηρίου δηλητηρίου τῆς Εἰρήνης πίπτει ἀφ' ἑαυτοῦ ὡς ἀβάσιμος. Καὶ ἐκηρύχθησαν μὲν κατ' αὐτοῦ καὶ Walch αὐτόθ. καὶ αὐτὸς δὴ ὁ Schlosser αὐτόθ. 259, οὐχ ὅμως ὡς ὀρθῶς ἑρμηνεύσαντες Θεοφάνη διὰ τῆς τῶν ἄλλων Χρονογράφων μαρτυρίας, ἀλλὰ μόνον διότι ηὐδόκησαν μὴ πιστεῦσαι ὅτι οὕτως ἐκακούργησεν Εἰρήνη· "Es ist dafür gar kein Grund!" ἐκφωνεῖ Schlosser.

ΕΙΡΗΝΗ Η ΑΘΗΝΑΙΑ

ΕΠΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΤ'.

780—790.

§ 26. Διίστατο μὲν Χαζάρου Εἰρήνη ἐν πίστει, τελευτήσαντος μέντοι ἐκείνου, αὕτη ἦν ἡ νόμιμος τοῦ μήπω δεκαετοῦς αὐτοκράτορος κηδεμών. Πιστεύω δ' ὅτι Χάζαρος, εἰδὼς τὸ φρόνημα τῶν πέντε Κοπρωνυμιδῶν, καὶ τὸ μὲν λίαν περὶ τῆς ζωῆς τοῦ υἱοῦ προνοούμενος, τὸ δὲ ἐγγὺς εἶναι τοῦ θανάτου αἰσθανόμενος, διὰ τὸ ἐφ' ἱκανὸν "σφοδροτάτῳ συνέχεσθαι πυρετῷ", αὐτὸς ὥρισεν Εἰρήνην κηδεμόνα Κωνσταντίνου τοῦ ΣΤ' Ἄλλως γὰρ ἀπόρως ἔχω, πῶς οἱ Εἰκονομάχοι οὐκ ὠφελήθησαν ἐκ τῆς διαστάσεως τῶν ὁμοζύγων καὶ δὴ ἐκ τῆς αἰτίας τῆς διαστάσεως, ὅπως ἐπιλάβωνται αὐθωρεὶ τοῦ Στέμματος. Εἰρήνη οὖν ἡ Ἀθηναία ἐνεχειρίσθη τοὺς οἴακας τῆς βασιλείας ἐν ὀνόματι τοῦ υἱοῦ τῇ η'. Σεπτεμβρίου, Ἰνδικτιῶνος δ'. τουτέστι τῷ 780ῳ. Καὶ ὡς μὲν ἤρξατο κυβερνᾶν, εἰθισμένη ἄλλως ἐν τούτῳ, οὐχ ἱστορεῖται σαφῶς· δῆλον δ' ὅτι μετὰ περισκέψεως ἐν τοῖς ἐκκλησιαστικοῖς, καὶ δὴ μείζονος ἢ ἐπὶ Χαζάρου διὰ τὸ αὐτὴν εἶναι νῦν ὑπεύθυνον, καὶ δὴ καὶ ὕποπτον τοῖς αἱρετικοῖς, καὶ πρό γε πάντων εὐχείρωτον διὰ τὴν φύσιν. Ναὶ μὲν ἡ ἀνάρρησις αὐτῆς ὡς "θεία ἐπίσκεψις" ὑπὸ τῶν συγχρόνων ἐξυμνεῖται[1]· ἀλλ' οὐ διὰ τὸ κηρῦξαι ἑαυτὴν ὡς αὐτο-

---

1 Θεοφ. 702, φέρ' εἰπεῖν, λέγει: "Τούτῳ τῷ ἔτει Εἰρήνη ἡ εὐσεβεστάτη ἅμα τῷ υἱῷ αὐτῆς Κωνσταντίνῳ παραδόξως θεόθεν τὴν βασιλείαν ἐγχειρίζεται ... ὡς ἂν θαυμαστωθῇ ὁ Θεὸς καὶ ἐν τούτῳ ..." Θεόδ. Στουδίτης ἐν ἐπιταφ. Πλάτωνος, κεφ. Δ'. § κα'. Μιχαὴλ ἐν βίῳ Στουδίτου κεφ. Δ'. Ἀνώνυμός τις ἐν Β'. βίῳ Στουδίτου κεφ. Δ'. (Migne, Patr. Gr. 99). Πρὸ πάντων δ' ὁ Θεοφάνους τοῦ ὁμολογητοῦ βιογράφος σελ. XXIII (πρὸ τῆς Χρονογραφίας ἐκδ. Βόνν.) ὡς ἄριστα, εἰ καί πως ποιητικῶς λέγει: "Εἰρήνη δὲ τὸ κραταίφρον ἐκεῖνο καὶ θεοφόρητον γύναιον τῆς βασιλείας σὺν υἱῷ τοὺς οἴακας ἐγχειρίζεται — εἴπερ χρὴ γύναιον καλεῖν τὴν κατ' ἐχθρῶν καὶ παθῶν ἀρρενωπῷ καθωπλισμένην φρονήματι — καὶ σπένδεται φύσις βροτῶν ἀλλήλοις καὶ θεῷ πολυχρόνιον κεκτημένη τὸν πόλεμον ...," πάντως τὸν πατριάρχην Ἰγνάτιον ἐν βίῳ Νικηφόρου πατριάρχ. σελ. 146 (ἐκδ. de Boor) μεταγράψας.

κράτειραν ὑπὲρ τῆς Ὀρθοδοξίας ἅμα βασιλεύσασαν, ἀλλὰ τὸ μὲν διὰ τὸ εἶναι ἔκπαλαι ὀρθόδοξον καὶ μονονοὺ μάρτυρα τῆς πίστεως ἐπὶ Χαζάρου· τὸ δὲ διὰ τὸ γράψαι πάντας τοὺς ἱστορικοὺς ἱκανὸν χρόνου μετὰ τὰ ὅσια καὶ θεοφιλῆ αὐτῆς ἔργα[2]. Ὅλως γὰρ ἀδυνάτως εἶχε δεῖξαι αὐθωρεὶ ὡς ἐσκόπει πολιτεύσασθαι, διὰ τὸ τῶν Εἰκονομάχων δέος δηλονότι.

§ 27. Πῶς γὰρ οὔ; Μόλις τεσσαράκοντα παρελήλυθεισαν ἡμέραι ἀπὸ τοῦ Χαζάρου θανάτου, ὅτε "τινὲς τῶν ἐν τέλει συμβούλιον ποιήσαντες, ἠθέλησαν ἐξαγαγεῖν Νικηφόρον τῶν ἀπὸ Καισάρων καὶ στῆσαι εἰς βασιλέα"[3]. Καὶ εἰ μὲν οἱ "ἐν τέλει" οὗτοι ἦσαν οἱ Χαζάρῳ Μαΐῳ τοῦ 776 ἐπιβουλευσάμενοι, οὐκ ἔχω εἰπεῖν, Θεοφάνους ὀνομάζοντος μέν τούτους[4], οὐ μέντοι ἐκείνους, οἵπερ εἰς Χερσῶνα τότε ἐξορισθέντες[5], ἴσως διέφυγον τὴν "παραφυλακὴν" καὶ ἦλθον εἰς Βυζάντιον πρὸς ἐπίτευξιν τοῦ ποθουμένου. Ἀλλὰ καὶ εἰ μὴ αὐτοὶ ἐκεῖνοι ἦσαν, ἑσμὸς ἦν ἐν Βυζαντίῳ εἰκονομαχούντων καὶ Εἰρήνην, καὶ τοὺς ὑπουργούς, οὓς ἐξελέξατο, μισούντων, πολλὰ δὲ καὶ μεγάλα ἐκ τῆς Νικηφόρου βασι-

---

2 Πρὸς πρόληψιν πάσης παρεξηγήσεως τόσον τῶν ἐν τῇ ἡγουμ. σημ. Ἱστορικῶν, ὅσον καὶ ἐμοῦ ἐνταῦθα καὶ ἰδίᾳ ἐν τῷ Β΄. μέρει τῆς πραγματείας ταύτης, ἐπάναγκες ἡγοῦμαι εἰπεῖν, ὅτι Εἰρήνη ἡ Ἀθηναία (769—802) οὐκ ἔστιν ἁγία τῆς Ὀρθοδ. Ἀνατολ. Ἐκκλησίας, ὡς τοὐναντίον λέγει Gibbon κεφ. 48 καὶ οἱ ἐκ τούτου ἀντλοῦντες παπισταί τε καὶ ἀντιπαπισταί (Wetzer und Wette, Kirchen-Lexicon· Stadler, Heiligen-Lexicon, ἐν λέξει Irene, καὶ ἄλλοι.) Ἡ γενικὴ δ' αὕτη πλάνη προῆλθε πιθανῶς μὲν ἐκ τοῦ Θεοφ. 766, καλοῦντος τὴν Ἀθηναίαν μετὰ θάνατον "ἁγίαν Εἰρήνην"· βεβαίως ὅμως ἐκ τοῦ ὅτι ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ τῇ ιγ΄. Αὐγούστου μνήμην ποιούμεθα "τῆς Βασιλίσσης Εἰρήνης . . ., τῆς διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθείσης Ξένης μοναχῆς." Ἀλλὰ μόνον ἀνάγνωσις τοῦ ὑπομνήματος ἐν τῷ Συναξαριστῇ δείκνυσιν, ὅτι ἡ ἁγία αὕτη Εἰρήνη ἤ Ξένη ἐστὶν ἡ γυνὴ Ἰωάννου Β΄. τοῦ Κομνηνοῦ, ἐπίκλην Καλοϊωάννου (1118—43), ἐκ τῆς Δύσεως καταγομένη καὶ τρεῖς καὶ ἐπέκεινα ἑκατονταετηρίδας μετὰ τὴν Ἀθηναίαν ἀκμάσασα. — 3 Θεοφ. 703. Strauss αὐτ. 17 σημ. 2. πλανᾶται ἐν τῷ αὐθεντικώτατα ἀποφαίνεσθαι, ὅτι "ὁ Νικηφόρος οὗτος οὐχ ὁ Κοπρωνυμίδης, ὁ ἐπὶ Χαζάρου ἀναιρεθεὶς ἢ βίᾳ μονάσας, ἀλλ' ἕτερός τις, συγγενὴς τοῦ Χαζάρου." Ἴδ. Λέοντ. Γραμμ. 192—3 καὶ κατωτ. σημ. 8. — 4 Ἴδε κατωτ. σημ. 6. — 5 Ἀνωτ. § 19.

λείας ἐλπιζόντων. Ἀγαθῇ ὅμως τύχῃ, ἡ θεία προνοια, χριστιανικῶς εἰπεῖν, ἡ συνωμοσία ἐγνώσθη ἐγκαίρως, ἡ δ' Αὐτοκράτειρα προέβη κατὰ τῶν νεωτεριστῶν ὡς καὶ ἐπὶ Χαζάρου: ἔδειρεν, ἔκειρε καὶ ἄλλον ἄλλοσε ἐξώρισε τοὺς ἐπιβούλους[6]. Τοὺς δὲ Κοπρωνυμίδας οὐ καθεῖρξε μὲν ὡς τότε[7], ἀλλ' αὐτῶν τε καὶ τῆς εἰρήνης τῆς αὐτοκρατορίας κηδομένη, κατέταξε τῷ ἱερῷ κλήρῳ, ὅπως ῥιζοτομήσῃ δηλονότι τοὺς πόθους αὐτῶν, πεποιθυῖα ὅτι οἱ Εἰκονομάχοι, καίπερ πάντα ἐκκλησιαστικὸν κανόνα διασείσαντες, οὐκ ἂν ἔμελλον ἐς τοσοῦτον ἐλάσαι τόλμης, ὥστε τῷ βασιλεῦσαι ἐποφθαλμιᾶν ἱερεῖς ὄντες. Ἵνα δὲ τὸ γεγονὸς πασίδηλον γένηται, ἐποίησεν Εἰρήνη τοὺς νέους τούτους ἱερεῖς μεταδοῦναι τοῖς πιστοῖς τῶν ἁγιασμάτων κατὰ τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως, ὅτε βασιλικῶς μεταβᾶσα εἰς ἁγίαν Σοφίαν σὺν τῷ υἱῷ, ἀπέδωκε τῷ Θεῷ τὸ ὑπὸ τοῦ ἀνδρὸς συληθὲν στέμμα "διὰ μαργαριτῶν ἐπικαλλωπίσασα"[8]. Τοῦτό δ' ἐστιν ἡ πρώτη καὶ μονωτάτη τῆς Εἰρήνης πρᾶξις ἐν τῷ α'. ἔτει τῆς βασιλείας αὐτῆς ὑπὲρ τῆς ἀπὸ ἡμίσεως καὶ ἐπέκεινα ἑκατονταετηρίδος προπηλακιζομένης καὶ διαρπαζομένης Ἐκκλησίας[9].

---

6 Θεοφ. 703: "Διαγνωσθείσης δὲ τῆς ὑποθέσεως, ἐκρατήθησαν Γρηγόριος τοῦ δρόμου ὁ λογοθέτης καὶ Βάρδας ὁ ποτὲ στρατηγὸς τῶν Ἀρμενιακῶν, Κωνσταντῖνός τε ὁ Δομέστικος τῶν Ἐξκουβιτόρων καὶ Θεοφύλακτος ὁ τοῦ Ῥαγκαβέ καὶ πολλοὶ ἕτεροι, οὓς δείρασα καὶ κουρεύσασα ἐξώρισεν εἰς διαφόρους τόπους." — 7 Τὸ τοῦ Θεοφ. 703: "ἠθέλησαν ἐξαγαγεῖν Νικηφόρον" δηλοῖ ὅτι περιωρισμένος ἦν, οὐκ ἐλεύθερος, ὅτε δήπου οὐκ ἂν ἔχρηζεν ἐξαγωγῆς. Ἆρα καταδικασθέντες οἱ Κοπρωνυμῖδαι εἰς θάνατον διὰ τὴν πρὸς Χάζαρον ἐπιβουλήν, οὐκ ἐξωρίσθησαν εἰς Χερσῶνα σὺν τοῖς ἄλλοις "ὑπὸ παραφυλακήν," ἀλλ' ἐφρουροῦντο ἐν Βυζαντίῳ· πλὴν εἰ ἐπανελθόντες κρύφα ἐκεῖθεν, Χαζάρου θανόντος, ἐφωράθησαν ὑπὸ Εἰρήνης καὶ ἐφρουρήθησαν, δι' ὃ ὁ εἰς αὐτῶν ἔχρηζεν ἐξαγωγῆς. Ἡ γνώμη δὲ τοῦ Schlosser, αὐτ. 254 σημ. * ὅτι "ὁ Νικηφόρος, μὴ τιμωρηθεὶς ἐπὶ Χαζάρου, ἴσχυε λίαν τοὐναντίον, ὡς τὰ ἐπὶ Εἰρήνης συμβάντα δηλοῦσιν", ἦν καὶ Hefele III, 440 ἔκδ. Β'. φαίνεται ἀσπαζόμενος, ὅλως ἀβάσιμός ἐστιν. — 8 Θεοφ. 703. "Τοὺς δὲ ἀνδραδέλφους αὐτῆς Καίσαράς τε καὶ Νοβελισίμους ἀποκείρασα, ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκεν ἐν τῇ ἑορτῇ τῆς Χρ. γενν. ἐν ᾗ ... προσήνεγκε ... τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἁρθὲν στέμμα." — 9 Οὐδείς, ἐφ' ὅσον ἴσμεν, τῶν λεπτομερῶς τὰ τῆς Εἰκονομαχίας ἱστορούντων παραλείπει εἰπεῖν, ὅτι Εἰρήνη

§ 28. Οὕτω δὲ ῥᾳδίως καταστείλασα ἡ Ἀθηναία τὴν εἰκονομάχον ὁρμην προσέσχε τανῦν, ὡς εἰκάζω, τὸν νοῦν ταῖς ἐπαρχίαις τῆς Αὐτοκρατορίας, περὶ ἐκείνων τῶν Στρατηγῶν προνοουμένη, ὅσους ἀδυνάτως εἶχεν ἐπὶ Χαζάρου μετακινῆσαι· ἐπάναγκες γὰρ ἦν τῇ τῆς Πολιτείας εὐεστοῖ μὴ διΐστασθαι τούτους γνώμῃ οὔτε τῆς Αὐτοκρατείρας, οὔτε τῶν μεγάλων αὐτῆς λειτουργῶν. Ἐν ἐκείνοις δὲ τακτέος δήπου καὶ ὁ μετὰ τὴν κατάλυσιν τῆς Ἐξαρχίας ἀνώτατος

τῷ πρώτῳ τῆς βασιλείας αὐτῆς ἔτει μετεκόμισεν ἐκ Λήμνου τὸ ἐν ἔτει 766 ὑπὸ Κοπρων. καταποντισθὲν Λείψανον τῆς πανευφήμου Εὐφημίας (ἴδ. Θεοφ. 679). Οὐδὲν τούτου ψευδέστερον. Ἀπεπλανήθησαν δὲ ὑπὸ τοῦ ἐν πολλοῖς ἀνακριβοῦς Κεδρηνοῦ, μὴ προσχόντες τὸν νοῦν οὔτε τῷ ἀκριβεῖ Θεοφάνει, οὔτε τοῖς πράγμασιν αὐτοῖς. Καὶ Θεοφάνης μέν, ἱστορῶν τὰ τῆς καταποντίσεως αὐτοῦ, λέγει: "ἐπὶ δὲ Κωνσταντ. καὶ Εἰρήνης τῶν εὐσεβ. βασιλέων Ἰνδικτ. δ΄. μετὰ ... τιμῆς ἐπανῆλθεν ἐν τῷ τεμένει αὐτῆς, ὃ αὐτὸς μὲν (ὁ Κοπρών.), ὡς τῶν ἐκκλησιῶν ἐχθρὸς κοινώσας ἀρμαμέντον καὶ κοπροθέσιον ἐποίησεν· αὐτοὶ δὲ ἀνακαθήραντες τοῦτο πάλιν καθιέρωσαν ... τοῦτο δὲ τὸ ... ἀξιόγραφον θαῦμα μετὰ χρόνους κβ΄. τῆς τοῦ παρανόμου τελευτῆς σὺν τοῖς εὐσεβ. βασιλεῦσι καὶ Ταρασίῳ τῷ ἁγιωτ. πατριάρχῃ ἡμεῖς τεθεάμεθα καὶ σὺν αὐτοῖς κατησπασάμεθα ..." Κεδρηνὸς δὲ II, 22. μὴ προσχών, ὡς φαίνεται, τῷ "μετὰ χρόνους κβ΄. τῆς — Κοπρωνύμου — τελευτῆς," ἐστηρίχθη ἐπὶ τοῦ: "ἰνδικτιῶνι δ΄" καὶ ἔταξε τὴν μετακομιδὴν τῷ α΄. ἔτει τῆς Εἰρήνης, ἤτοι τῇ δ΄. Ἰνδικτ. τοῦ 33 κύκλου (τῶν κύκλων ἀρχομένων τῷ 297, δωδεκάτῳ τῆς βασιλείας Διοκλητιανοῦ) καὶ οὐχ, ὡς ὤφειλε, τῇ δ΄. Ἰνδικτ. τοῦ 34 κύκλου, μετὰ 15 ἐνιαυτούς, ὅτε συνεπληροῦντο 21 ἔτη ἀπὸ τῆς τελευτῆς Κοπρων., οὐχὶ δὲ 22, ὡς ἐσφαλμένως καὶ ὁ Θεοφάνης. Ἀσυγγνώστως ὅμως παρεῖδε Κεδρηνὸς Ταράσιον, ὃς τῷ τετάρτῳ ἔτει τῆς Εἰρήνης (Ἰνδικτ. η΄. 784) ἐχειροτονήθη πατριάρχης Οἱ δὲ νεώτεροι Ἱστορικοί, Hergenröther, φέρ' εἰπεῖν, ἐν Kirchengeschichte, Vol. I. 769 καὶ ἐν Photius, I. 245, καὶ Hefele, αὐτόθ. III. 442 (ἔκδ. Β΄.), ἵνα μὴ μνησθῶμεν πλείστων ἄλλων, υἱοθετήσαντες τὰ Κεδρηνοῦ σφάλματα, παρεῖδον ὅλως καὶ τὴν κατάστασιν ἅμα βασιλευσάσης Εἰρήνης, ὅλως ἀδύνατον καθιστῶσαν τὴν τοῦ ἱεροῦ Λειψάνου μετακομιδήν. Πῶς γὰρ ἂν ἔμελλε ταχὺ μετὰ τὸν Χαζάρου διωγμὸν καὶ τὴν κατ' Εἰρήνης στάσιν Ναὸς διὰ μαρτυρικῶν Λειψάνων καθιερωθῆναι; Οὐκ ἐπεβλήθη πολλῷ μᾶλλον τοῦτο ὑπὸ τοῦ ζ΄. κανόνος τῆς Ζ΄. Συνόδου, οὐκ ἐγένετο ἄρα τῇ δ΄. Ἰνδικτ. 796 μετὰ χρόνους 21 τῆς Κοπρων. τελευτῆς, ὅτε πατριάρχης ἦν ἔτι Ταράσιος; Οὕτω

ἐν Δύσει Ῥωμαῖος Ἄρχων, ὁ ἐν Καιάτῃ (Cajeta) ἑρεύων στρατηγὸς Σικελίας Ἐλπίδιος. Κληθεὶς οὗτος εἰς Βυζάντιον πρὸς ἐξέτασιν, ἢ μετάθεσιν, ἢ καθαίρεσιν, ἤτοι τεχνηέντως ὑπεκρίθη πίστιν καὶ ἀφοσίωσιν τῇ Εἰρήνῃ, ἢ ἐφάνη μὲν ὑπόπτου εἰλικρινείας, ἀναγκαιότατος μέντοι ὢν ἐν Ἰταλίᾳ ὡς ἔμπειρος τῶν τῆς Δύσεως, ὡς μετὰ μικρὸν ὀψόμεθα, προὐβλήθη ἐκ νέου Στρατηγὸς Σικελίας καὶ ἀπελύθη ἐκεῖσε Φεβρουαρίῳ τοῦ 781[10]. Πλὴν ἀλλά, μαστιζόμενος καὶ οὗτος ὑπὸ τοῦ καθόλου τοὺς τότε Στρατηγοὺς μαστίζοντος λοιμοῦ, — ἕκαστος γὰρ οἴετο δύνασθαι βασιλεύειν — καὶ κατιδὼν ἐν Βυζαντίῳ πάντας τοὺς ἐκ βασιλέων μνηστῆρας τοῦ Στέμματος ἱερατεύσαντας, πρὸ παντὸς δ' ὅτι εὐχείρωτον ἐκράτει γύναιον, ἐνόμισεν εὔκαιρον ἐπαναστῆναι τοῖς καθεστῶσι καὶ ἐσκόπει ἤτοι αὐτὸς βασιλεῦσαι ἐν Βυζαντίῳ, ἢ ἴδιον ἱδρύσαι βασίλειον ἐν Σικελίᾳ, καθάπερ Σέργιος ἐπὶ Ἰσαύρου[11]. Ἡ δὲ συμμετοχὴ τῶν Σικελῶν καθίστησι τὸ δεύτερον πιθανώτερον. Ἅμα γὰρ Εἰρήνη, ταῦτα γνοῦσα, τάχιστα ἀπέστειλε τὸν ἄξοντα αὐτὸν Σπαθάριον Θεόφιλον, "οὐκ ἀπέδωκαν αὐτὸν οἱ Σικελοί"[12], καὶ αὐτοὶ ἐλευθερωθῆναι ποθοῦντες[13]. Τοῦτο δ' οὐκ ἠδύνατο μαθεῖν ἐκ Σικελίας ἡ βασίλισσα πρὸ τοῦ Ἰουνίου μεσοῦντος[14], ὅτε ἀκριβῶς εἰς Ἀσίαν ὤφειλε προσχεῖν τὸν νοῦν. Διὸ ἀρκοῦν ἡγησαμένη, τό γε νῦν ἔχον, κρατῆσαι ἐν Βυζαντίῳ τὴν Ἐλπιδίου γυναῖκα καὶ τὰ τέκνα οἱονεὶ ὁμήρους[15], ἐστράτευσεν ἐπ' Ἄραβας.

περιεσκεμμένως ἔβαινεν Εἰρήνη καὶ Ἐκκλησία κατὰ τῆς αἱρέσεως, ὥστε οὐδ' ἐν τῷ ἐν Νικαίᾳ Ναῷ ὅπου συνήδρευεν ἡ Ζ'. Οἰκ. Σύνοδος ἦν εὑρεῖν ἱερὰν εἰκόνα καὶ ἐδέησε, πατέρων τινῶν αἰτησαμένων, ἐνεγκεῖν τοιαύτην πρὸς ἀσπασμόν· ὅρα Mansi XIII. Ε'. Πρᾶξιν. 157 κ. ἑφ. Ὁ δὲ καλὸς κἀγαθὸς Schlosser, 260. φαίνεται θέλων, ὅτι καὶ ἡ μετακομιδὴ τοῦ Λειψάνου, καὶ ἡ ἀπόδοσις τοῦ Στέμματος, τῇ 25. Δεκεμβρ. 780, δι' ὧν Εἰρήνη ἔδειξε τὸ τί ἐφρόνει, προὐκάλεσαν τὴν στάσιν τῶν Εἰκονομάχων τῇ 18. Ὀκτωβρ. 780!!! — 10 Θεοφ. 703. — 11 Θεοφ. 611. — 12 Θεοφ. 704. — 13 Περὶ τῶν τοιούτων πόθων καὶ τάσεων τῶν Σικελῶν ἱκανὰ ἐροῦμεν ἐν τῷ Θ'. κεφαλαίῳ τῆς Πραγματείας ταύτης. — 14 Τῇ 15. Ἀπριλίου — ἡμέρᾳ τοῦ Πάσχα — ἐγνώσθη τὸ Ἐλπιδίου φρόνημα. Καὶ εἰ δ' αὐθημερὸν ἐξαπέστειλε κατ' αὐτοῦ Θεόφιλον, οὐκ ἂν ᾔδει Εἰρήνη τὸ ἀποτέλεσμα πρὸ τοῦ Ἰουνίου, τοὐλάχιστον πεντηκονθημέρου πρὸς τοῦτο ἀπαιτουμένου. — 15 Θεοφ. 704. "Ἡ δὲ τὴν γυναῖκα αὐτοῦ δείρασα καὶ κουρεύσασα, σὺν τοῖς υἱοῖς τῷ Πραιτωρίῳ παρέ-

§ 29. Οἱ δεινοὶ δ' οὗτοι πολέμιοι, τρὶς ἡττηθέντες ἐν βραχεῖ χρόνου[16], καὶ μετὰ τὸν διωγμὸν μαθόντες, πιθανῶς, ὅτι Χάζαρος μὲν ἐτεθνήκει, Εἰρήνη δ' ἐβασίλευεν, εἰσέβαλον εἰς Ἀσίαν "μετὰ δυνάμεως πολλῆς" ἡγουμένου Κεβήρ, ὅπως γυναικὸς κρατούσης Ῥωμαίων, ἀποτινάξωσιν, εἰ δυνατόν, τὸ ἐκ τῶν ἀλλεπαλλήλων ἡττῶν ὄνειδος. Ἀλλ' οὐχ οὕτως. Γνοῦσα γὰρ Εἰρήνη τὴν ἐπιδρομήν, Ἰουνίῳ μηνὶ "ἀπέστειλε πάντα τὰ περατικὰ θέματα εἰς τὰς κλεισούρας φυλάττειν καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῶν, ἐπιστήσασα αὐτοῖς κεφαλὴν Ἰωάννην τὸν Σακελλάριον, εὐνοῦχον ὄντα καὶ οἰκειακὸν αὐτῆς." Τὸ τῆς προνοίας δὲ ταύτης προϊὸν ὑπῆρξε θαυμάσιον: "συνήντησαν οἱ στρατοὶ ἀλλήλοις ἐν τόπῳ λεγομένῳ Μήλῳ καὶ κροτηθέντος πολέμου, ἡττῶνται οἱ Ἄραβες καὶ κτείνονται ἐξ αὐτῶν πολλοὶ καὶ ὑπέστρεψαν μετ' αἰσχύνης"[17].

§ 30. Οὕτω δὲ νικηφόρως ἀντεπεξελθοῦσα Εἰρήνη τοῖς δεινοτάτοις τῶν πολεμίων καὶ δὴ διὰ στρατηγοῦ οἰκείου ἑαυτῇ, οὐ Λαχανοδράκοντός τινος, ἔδειξε τοῖς λαοῖς, ὅτι ἐμπείρως λίαν εἶχε περὶ τὸ κρατεῖν καὶ πολιτεύεσθαι, καὶ ὅτι ἱκανὴ ἦν εἰδέναι τί τὸ συντελοῦν τῇ τοῦ ὑπηκόου εὐεστοῖ. Ἡ Ἀθηναία ἦν ἀπόλυτος μονοκράτειρα· τὸ νομοθετεῖν τοίνυν καὶ πράττειν κατὰ τὸ δοκοῦν ἦν ἐν τῇ χειρὶ αὐτῆς, οὐδενὸς ἀντιλέγοντος. Ἠδύνατο οὖν ἑνὶ διατάγματι ἐπιβαλεῖν τοῖς

πεμψε φυλάττεσθαι". Schlosser, 266. ἀδίκως μέμφεται διὰ τοῦτο Εἰρήνην. Ἀλλὰ τί τὸ ἀποδεικνὺν τὴν ἀθωότητα τῆς γυναικός; Τίς οἶδεν εἰ μὴ ἐξ ἀνακρίσεως ἐγνώσθη, ὅτι ᾔδει αὕτη τὸν τοῦ ἀνδρὸς σκοπὸν καὶ μὴ τοῦτο δηλώσασα ἔνοχος ἦν προδοσίας; "τῇ ιέ. Ἀπριλ. διεβλήθη Ἐλπίδιος" ἐν Βυζαντίῳ, οὐκ ἐκ Σικελίας. Ἐν Βυζαντίῳ οὖν ὑφάνθη ἡ ἐπιβουλὴ καὶ ἡ γυνὴ δαρεῖσα καὶ καρεῖσα, ἐγίνωσκε τοῦτο. Σφάλλεται δὲ Schlosser φρονῶν ὅτι τῇ Νικηφόρου ἐπιβουλῇ συμμετεῖχεν Ἐλπίδιος· Θεοφ. 703 λέγει: "διεβλήθη Ἐλπίδιος ὡς τὰ τῶν Καισάρων φρονῶν", τουτέστι βασιλεῦσαι θέλων ὡς κἀκεῖνοι. Ἡ γὰρ στάσις αὐτοῦ ἐν Σικελίᾳ καὶ τὸ ὅτι εἰς Ἀφρικὴν μετὰ τὸ ἡττηθῆναι φυγὼν ἐστέφθη ἐκεῖ βασιλεὺς Ῥωμαίων, καὶ Ἀραβικῶν στρατιῶν ἡγούμενος τὸν θρόνον κατασχεῖν ἐπειρᾶτο δηλοῦσι πάντα ὅτι ὑπὲρ ἑαυτοῦ, οὐχ ὑπὲρ Καισάρων ἐμερίμνα. — 16 Ἀνωτ. § 23—24. — 17 Θεοφ. 704. Κατὰ τοὺς Ἄραβ. Χρονογρ. Weil, II. 99. σημ. 2. 90,000 ἄνδρας ἀπέστειλεν Εἰρήνη. Κεβὴρ δὲ (Abd-el-Kebir) δειλιάσας, οὐκ ἐπολέμησε τὸ παράπαν· οὕτω δ' ὠργίσθη διὰ τοῦτο Μαδί, ὥστε ὥρισε θανατῶσαι αὐτόν, ἀλλ' ἄλλων μεσιτευσάντων, καθεῖρξε μόνον. Ὅτι ὅμως οὐκ ἐπολέμησε φαίνεταί μοι μῦθος.

ὑπηκόοις τὴν ἑαυτῆς θρησκείαν, ὥσπερ οἱ Εἰκονομάχοι ἐπέβαλον τὴν σφῶν αὐτῶν. Εἰρήνη δὴ ἐπλεονέκτει ἐκείνων κατὰ τοῦτο, ὅτι ἔμελλεν ἐπανελθεῖν εἰς τὰ ἀπ' αἰώνων ἔν τε Πολιτείᾳ καὶ Ἐκκλησίᾳ ἰσχύοντα, ὑπὲρ ἑαυτῆς ἔχουσα τέσσαρα τῶν πέντε τοῦ Χριστιανικοῦ Κόσμου τμημάτων, τὰ Πατριαρχεῖά, φημι, Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, καὶ αὐτὸ δὴ τὸ τῆς Κωνσταντινουπόλεως μέχρις Ἰσαύρου. Οἱ δὲ Εἰκονομάχοι ἐπέβαλον νεωτερισμὸν ὑφ' ἁπάσης τῆς Ἐκκλησίας κατακριθέντα. Καὶ ὅμως, εἰ καὶ πρῶτον μετὰ τὴν Ἀράβων ἧττταν διενοήσατο Εἰρήνη περὶ τοῦ δύνασθαί πως ἐνεργῆσαι ὑπὲρ τῆς Ὀρθοξίας, ὅμως μέντοι, ἐπειδὴ ἐνδεχόμενον ἦν ἐξερεθισθῆναι τὸν ἐν τῇ αἱρέσει γεννηθέντα καὶ παιδευθέντα ὄχλον τοῦ Βυζαντίου καὶ αἱματηρὰν προκαλέσαι μάχην, εἴπερ τις καὶ ἄλλος δ' ἀπεστρέφετο, ὡς τὸ εἰκός, τὴν αἱματοχυσίαν Εἰρήνη, οὐδὲν νῦν ἐποίησεν· ἀλλ' ἀφεῖσα τὰ περὶ τούτου τοῖς ἀθρόως νῦν παλινοστοῦσι διδασκάλοις τῶν γραμμάτων καὶ τῆς θρησκείας, ἐπέτρεψε καὶ ἐθάρρυνεν αὐτοὺς διδάσκειν σὺν ἄλλοις τὸν λαὸν τί ὤφειλον πιστεύειν. Ὁ λεπτομερέστατα πάντων ἱστορῶν τὴν Εἰρήνης βασιλείαν Θεοφάνης οὐδὲν ὅλως λέγων περὶ ἐνεργείας αὐτῆς ὑπὲρ τῆς Ὀρθοδοξίας πρὸ τῆς κατ' Ἀράβων νίκης, ἐπάγει ἀμέσως αὐτῇ: "ἤρξαντο δὲ οἱ εὐσεβεῖς παρρησιάζεσθαι, καὶ ὁ λόγος τοῦ Θεοῦ πλατύνεσθαι, καὶ οἱ θέλοντες σωθῆναι ἀκωλύτως ἀποτάσσεσθαι, καὶ ἡ δοξολογία τοῦ Θεοῦ ὑψοῦσθαι, καὶ τὰ μοναστήρια ἀναρρύεσθαι, καὶ πᾶν ἀγαθὸν φανεροῦσθαι"[18].

---

18 Θεοφ. 704. Gibbon κεφ. 49: "Restoration of Images ... by ... Irene" λέγει: "As soon as she — Irene — reigned in her own name and in that of her son ... *the first step* of her future persecution was *a general Edict* for liberty of conscience." Ἀλλὰ τοῦτο, ὅτι δηλαδὴ Εἰρήνη, ἅμα βασιλεύσασα, ἐξέδοτο καθολικὸν διάταγμα περὶ ἐλευθερίας τῆς συνειδήσεώς ἐστιν εἷς τῶν οὐκ ἀσυνήθων Γίββωνι ἀβασίμων ἰσχυρισμῶν, μὴ ἀποδεικνύμενος οὐδαμόθεν, οὔτ' ἐκ τῶν συγχρόνων, οὔτ' ἐκ τῶν μεταγενεστέρων Χρονογράφων. Ἄλλως τε καὶ οὐκ ἔχω λόγον ἀποκλῖναι Θεοφάνους διαρρήδην λέγοντος ὅτι "οἱ εὐσεβεῖς ἤρξαντο παρρησιάζεσθαι" οὐκ Εἰρήνη. Ἀφωρμήθη δ' εἰς τοῦτο ὁ λαὸς ἐκ τῆς κατ' αὐτὸ ἀκριβῶς τοῦ καιροῦ ἀνευρέσεως παρὰ τῷ Μακρῷ τείχει λάρνακός τινος μετ' ἀνδρικοῦ λειψάνου καὶ τοῦδε τοῦ ἐπιταφίου: "Χριστὸς μέλλει γεννᾶσθαι ἐκ Μαρίας τῆς παρθένου καὶ πιστεύω εἰς αὐτόν· ἐπὶ δὲ Κωνστ. καὶ Εἰρ. τῶν βασιλέων,

§ 31. Καίτοι δ' αἱ ἔμμεσοι αὗται ἐνέργειαι τῆς Εἰρήνης ἐσκόπουν ἀπαλλάξαι τῆς σήψεως τὸν πυρῆνα, ἔτεινον δηλαδὴ βελτιῶσαι τὸν νοῦν καὶ τὴν καρδίαν τῶν τῆς Πολιτείας μελῶν, δι' οὗ καὶ μόνου ἠδύνατο αὕτη ἀκμάσαι, ὅμως μέντοι ὁ πυρὴν οὐκ ἂν διετηρεῖτο ἄνευ στερεοῦ καὶ ἀῤῥαγοῦς κελύφους, ἄνευ δηλονότι ἐξωτερικῆς ἀσφαλείας, ἣ δὴ λίαν ἔμελε τῇ βασιλίσσῃ. Ναὶ μὲν λίαν ἐκήδετο τῆς Ἐκκλησίας καὶ καθεώρα τὴν ἐκ τοῦ Σχίσματος καὶ τῆς αἱρέσεως βλάβην, ἀλλ' ἐπεποίθει ὅτι μόνον διὰ τοῦ ἀσφαλίζειν τὴν Πολιτείαν ἠδύνατο κρειττόνως εὐεργετῆσαι τὴν Ἐκκλησίαν καὶ ἐν τοῖς μέλεσιν αὐτῆς. Ἀδυνατῶ ἄρ' ὅλως πιστεῦσαι ὅτι ἡ Εἰρήνη ἦν τοσοῦτον τῇ Ἐκκλησίᾳ ἀφωσιωμένη, ὅσον οἱ Εἰκονομάχοι Ἴσαυρος καὶ Κοπρώνυμος, οἵτινες, προσχόντες καθόλου τὸν νοῦν τῇ δῆθεν μεταρρυθμίσει αὐτῆς, τέλεον παρημέλησαν τὰ τῇ Πολιτείᾳ συμφέροντα, ἢ ἐπ' ἐλάχιστον καὶ μερικῶς μόνον τούτων ἐπεμελήσαντο, ὡς ἐν τῷ πρώτῳ κεφαλαίῳ δεδήλωταί μοι. Νῦν δ' ἀκριβῶς διετέλει ἡ Αὐτοκρατορία ἐν ἐπισφαλεῖ λίαν: οἱ Ἄραβες, μαινόμενοι ἐπὶ ταῖς ἥτταις, καθ' ἑκάστην ἠδύναντο ἐκ νέου εἰσβαλεῖν· οἱ Κοπρωνυμῖδαι, καίπερ ἱερατεύσαντες, ἠδύναντο ἐξερεθισθῆναι ὑπὸ τῆς πληθυνούσης ὀρθοδοξίας καὶ ἐπαναστῆναι σὺν τοῖς Εἰκονομάχοις ἐκ νέου· ὁ δὲ στρατηγὸς Ἐλπίδιος ἦν σὺν ὅλῃ Σικελίᾳ ἐν ἐντελεῖ ἀποστάσει· τοῦτο δέ, ὅτε ἡ ἐν Δύσει βυζαντινὴ ἐξουσία ἦν ἐπὶ ξυροῦ ἀκμῆς.

§ 32. Τὰ ἐν Ἰταλίᾳ ἐν ἔτει 775—76 γενόμενα[19] οὐκ ἐβελτίωσαν τὴν ὑπάρχουσαν κατάστασιν· τούτου δὲ πρώτιστον καὶ κύριον αἴτιον τὰ ὑπὸ τοῦ πάπα Ἀδριανοῦ ἀδιαλείπτως σπειρόμενα ζιζάνια. Κάρολος, δύναταί τις ἰσχυρίσασθαι, ἐμυσάττετο Ἀδριανόν· διό, διατρίψας ἐν Ἰταλίᾳ τέσσαρας μῆνας μετὰ τὴν Ταρβισίου ἅλωσιν[20], οὐ μόνον

ὦ ἥλιε, πάλιν με ὄψει", ὅπερ παρὰ πᾶσιν εὕρηται τοῖς Χρονογράφοις (ἴδ. Walch, X. 466—89). Οὐ θέλω δ' εἰπεῖν ὅτι οὐκ ἐφρόνει Εἰρήνη ὥσπερ οἱ λοιποί, ἀλλὰ πλεῖον τῶν πολλῶν, ὡς κατ' ἐπίγνωσιν, ὀρθοδοξοῦσα, οὐκ ἐνήργει νῦν ὡς αὐτοκράτειρα ὑπὲρ τῆς Ἐκκλησίας, ὡς οὐδὲ κατ' αὐτῆς, ὡς τὸ εἰκός. Μόνον οἱ μοναχοὶ ἐδίδασκον. Κατὰ τοῦ ἰσχυρισμοῦ τοῦ Γίββωνος πλείω κατωτ. § 48. σημ. 11. — 19 Ἀνωτ. § 20—22. — 20 Ταρβίσιον ἑάλω πρὸ τοῦ Ἀπριλ. 776· αὐτόθι γὰρ ἐώρτασε Κάρολος τὸ Πάσχα, 14. Ἀπριλ. Lauriss. maj. 776. Διέτριψε δ' ἐν ἄνω Ἰταλίᾳ μέχρις Ἰουλίου 776. Abel, Forsch. I. 489, σημ. 8. Jahrb. 205.

ἀπέσχεν ἱκανοποιῆσαι αὐτὸν κατὰ τοῦ Ῥαβέννης Λέοντος, ἀλλὰ καὶ ἰδεῖν αὐτὸν κατὰ πρόσωπον, καίπερ ἰδὼν Λέοντα ἐν τῷ μεταξύ[21]. Ἀπελθὼν ὅμως ἐντεῦθεν κατὰ τῶν ἐπαναστάντων Σαξόνων[22], ἀνελογίσατο πάντως δήπου, ὡς οἷός τ' ἦν ὁ πάπας πράγματα πολλὰ ἐν Ἰταλίᾳ παρασχεῖν αὐτῷ ἀπόντι, τοῖς Λογγοβάρδοις δουξὶ κατ' αὐτοῦ συμμαχῶν, εἰ ὑπὲρ τὸ δέον περιφρονῶν, ἐξώργιζεν αὐτὸν (ἀνεμιμνήσκετο γὰρ τῆς ὁμοίας Στεφάνου τοῦ Γ'. πολιτείας[23]), καὶ πρόσφορον, εἰ μὴ ἐπάναγκες, ἡγήσατο, νικητὴς ἐπανακάμψας, γνωρίσαι αὐτῷ τὴν νίκην καὶ ἀναγγεῖλαι ὅτι ἐσκόπει εὐκαιρῶν ἐπισκέψασθαι αὐτὸν ἐν Ρώμῃ[24]. Ἀλλὰ μόνον ὑπόσχεσις ἦν τοῦτο πρὸς περιστολὴν αὐτοῦ, διὸ καὶ ἐπανέλαβεν αὐτὸ μικρὸν ὕστερον, ὁρίσας δὴ καὶ τὸν σκοπὸν καὶ τὸν χρόνον τῆς ἐπισκέψεως· πρὸς τὸ βαπτίσαι δηλονότι ἐν Ῥώμῃ τὸν νεογέννητον υἱὸν αὐτοῦ κατὰ τὸ Πάσχα, 30. Μαρτίου 777[25]. Θανόντος δ' ἐν τῷ μεταξὺ καὶ τοῦ Ῥαβέννης Λέοντος[26], ἐνόμιζεν ὁ πάπας ὅτι ἤγγικεν ἡ βασιλεία αὐτοῦ, ἡ κληρονομία δηλαδὴ τῆς Λέοντος μερίδος ἐν τῇ Ἐξαρχίᾳ. Πλὴν μάτην. Κάρολος γὰρ οὐκ ἦλθεν, ὡς προσεδόκα ἄν τις. Ἀδριανὸς δέ, θλῖψιν ἄφατον διὰ τοῦτο ἐξαγγέλλων αὐτῷ μηνὶ Μαΐῳ 777, ἐδεήθη ὑπὲρ τοῦ βαπτίσματος καὶ ἐντόνως ἐδήλωσεν ὅτι ὤφειλεν ἐκτελέσαι τὴν Πιπίνου δωρεὰν ὡς ὑπέσχετο, καὶ πρὸς τούτοις ἀποδοῦναι αὐτῷ ὅσα Πατριμόνια ἐδωρήσαντο μὲν οἱ κατὰ καιροὺς αὐτοκράτορες καὶ ἕτεροι εὐσεβεῖς τοῖς πάπαις ἐν Ἰταλίᾳ, ἀφήρπασαν δ' οἱ Λογγοβάρδοι. Προβαλὼν δ' αὐτῷ ὡς δεῖγμα τὴν πρὸς τὴν Ῥωμαίων Ἐκκλησίαν μεγαλοδωρίαν τοῦ Μεγάλου Κωνσταντίνου, ἀπέστειλε πρὸς πίστωσιν τὰ ἐν Λατεράνῳ τηρούμενα δωρητήρια ἔγγραφα[27].

---

21 Cod. Carol. ep. 56. — 22 Τὰ καθ' ἕκαστα παρὰ Richter, ann. 776. b. — 23 Ἀνωτ. § 14 μετὰ τὴν σημ. 209. — 24 Cod. Carol. ep. 59: Continebatur in ... vertris apicibus, quod ... remeantes vos a Saxonia, mox et de praesenti in Italiam vel ad limina beati Petri ad implendis, quae ei polliciti estis, properari desideratis. πρβλ. Abel, Forsch. I. 490. σημ. 2. 3. — 25 Cod. Carol. ep. 61: Dignati estis nobis repromittere, ut in s. diem Pascae ad limina b. Petri una cum regina ... properare debuissetis, ut filium, qui nunc vobis procreatus est a sacro baptisma in ulnis nostris suscipere debuissemus. — 26 Τῇ 13. Φεβρ. 777. Abel, Forsch. I. 491. σημ. 1. — 27 Cod. Carol. ep. 61: Te petimus ... rex,

§ 33. Πρὸ τοῦ ἀποκριθῆναι ὅμως Κάρολον, εἰ ἀποκριθῆναι ἔμελλεν, ἡ τοῦ πάπα θέσις ἐν Ἰταλίᾳ ἐπὶ πλεῖον δυσχερεστέρα ἐγένετο. Ὁ τοῦ Βενεβεντοῦ δοὺξ Ἄριχις, συνῳδά, ὡς ἡγοῦμαι, ὑποσχέσει πρὸς Χάζαρον ἐκ Σπολητίου (ὅτε Δεκεμβρ. 775 συνῆλθον αὐτόθι οἱ τέως σύμμαχοι δοῦκες[28]), ἢ ὡς ἀντιστάθμησιν τῆς ἀπὸ τῆς συμμαχίας ἀποχῆς αὐτοῦ, ἀπέσπασε τοῦ πάπα σὺν τῷ στρατηγῷ Σικελίας πόλεις τινὰς τῆς Καμπανίας καὶ ὑπέταξεν αὐτὰς τῷ Αὐτοκράτορι[29]. Ὁ καιρὸς δ' ἦν καταλληλότατος. Αἱ γὰρ σχέσεις Καρόλου πρὸς Ἀδριανὸν ἦσαν πασίγνωστοι, Ἄριχις δὲ καὶ Ἐλπίδιος ἡγοῦντο, πιθανῶς, ὅτι τὸν πάπαν πολεμοῦντες, Κάρολον εὐηργέτουν, ὃς πρὸ δύο ἐνιαυτῶν ἐπέτρεψεν ἢ πολλῷ μᾶλλον προέτρεψε τὸν Κλουσίου δοῦκα Ῥεγινάλδον ἀποσπάσαι τοῦ πάπα τὸ φρούριον Felicitas[30]. Παρεκτὸς δὲ τούτου Καμπανοὶ ἐμυσάττοντο τὴν παποκρατίαν, ὥσπερ πρότερον Σπολητῖνοι, καὶ ἑτοίμως εἶχον ὑπαχθῆναι, ὡς δὴ καὶ ἐποίησαν, τῷ νομίμῳ κυρίῳ αὐτῶν, τῷ Χαζάρῳ, μὴ δὴ εἰκονομαχοῦντι[31]. Διὰ δὴ τοῦτο, ὅτε ὁ πάπας ἐπανειλημμένως δι' ἐπισκόπων παρώτρυνεν αὐτοὺς ἐμμεῖναι τῇ ὑποταγῇ τοῦ Ἀπ. Πέτρου, οὐκ ἤκουσαν τῆς φωνῆς αὐτοῦ[32]. Τί δὲ ὁ

---

ut ... pro ipso ... baptisma nostrum adimplere jubeas desiderium. Hoc deprecamur ... rex, ut secundum promissionem, quam polliciti estis Apostolo Petro ... omnia adimplere jubeatis ... et sicut temporibus Silvestri ... a Constantino Magno ... per ejus largitatem ... Rom. Ecclesia elevata atque exaltata est, ita et in his vestris temporibus ... Sed et cuncta alia, quae per diversos Imperatores, Patricios et alios Deum timentes ... consessa sunt et per Langobardos ... abstulta atque ablata sunt ... restituantur. Unde et plures donationes in nostro scrinio Lateranense reconditas habemus. Tamen et pro satisfactione regni vestri ... ad remostrandum eas vobis direximus. Ἰδού *πότε ἐχάλκευται ἡ* Donatio Constantini! — 28 Ἀνωτ. § 22. — 29 Cod. Carol. ep. 62: Aliquantas civitates nostras Campaniae operantes ... Beneventani, ipsum nostrum populum suadent atque subtrahere a nostra ditione decertant ... una cum ipso Patricio Siciliae ... Et decertant a potestate et ditione b. Petri et nostra eosdem Campaninos usurpare et Patricio Siciliae subjugare. — 30 Ἀνωτ. § 21. *σημ.* 49. — 31 Ταῦτα *συνέβαινον τῷ θέρει τοῦ* 777· Χάζαρος δ' *ἤρξατο εἰκονομαχεῖν* Μαρτίῳ *τοῦ* 780. *ἀνωτ.* § 25. — 32 Cod. Carol. ep. 62: Nos vero ... viribus atque vicibus admonendum et predicandum

Ἀδριανός; Ἀμηχανῶν, ἐμνήσθη πάλιν Καρόλου καὶ ἐδεήθη αὐτοῦ ἐπιτάξαι Βενεβεντίνοις ἀποσχεῖν τῆς Καμπανίας[33]. Ἀλλὰ τούτου, ὡς τὸ εἰκός, μὴ γενομένου (πῶς γὰρ ἂν ἐπέτασσε Κάρολος ἐλευθέρῳ ὅλως δουκί, καὶ δὴ παρὰ τὴν ἣν ἔδωκεν αὐτῷ, ὡς νομίζω, τῷ 775 ὑπόσχεσιν[34], ἄλλως τε καὶ ἥσθη, πιστεύω, ἐπὶ τῇ διχονοίᾳ τῶν ἐχθρῶν αὐτοῦ), ἐκίνησεν Ἀδριανὸς ὅλην τὴν στρατιὰν αὐτοῦ[35], ἐπῆλθε Καμπανοῖς, καὶ οὐ τούτους μόνον ὑπέταξεν, ἀλλ' ἀπέσπασε τῶν Ἑλλήνων καὶ τὴν πόλιν Ταρρακίναν[36]. Καὶ Κάρολος μέν, εἰ καὶ ἐξεπλάγη βεβαίως ἐπὶ τῇ τόλμῃ καὶ τῇ νίκῃ τοῦ ἱεροῦ στρατηλάτου, κατέλιπεν οὐδὲν ἧττον αὐτὸν ταῖς ἰδίαις δυνάμεσιν (οὕτω γὰρ ἐχόντων τῶν πραγμάτων, συμμαχία πάπα καὶ Λογγοβάρδων κατὰ Καρόλου ἀδύνατος ἦν τό γε νῦν ἔχον), καὶ περὶ ἄλλα σοβαρὰ ἀσχολούμενος, τότε μόνον μέχρι τοῦ 780 ἐμιμνήσκετο αὐτοῦ, ὁσάκις ἀφορμῆς ἐτύγχανε πρὸς τὸ μέμψασθαι καὶ ἐπιτιμῆσαι αὐτόν[37]. Ἕλληνες δ' ἑτέρωθεν νέας παρεσκεύασαν αὐτῷ σὺν Βενεβεντίνοις δυσχερείας.

§ 34. Ὡς ἐστιν εἰκάσαι ἔκ τινων σημείων ἐν ταῖς Δυτικαῖς τῆς Ἱστορίας πηγαῖς, οἱ Ἕλληνες Σικελίας καὶ Νεαπόλεως ὑπὸ Ἐλπίδιον, ὡς καὶ οἱ Λογγοβάρδοι τοῦ Βενεβεντοῦ ὑπὸ Ἄριχιν, ἀκούσαντες περὶ τῆς Καρόλου δεινῆς ἥττης ἐν τῇ ἐπ' Ἄραβας στρατείᾳ αὐτοῦ εἰς Ἱσπανίαν τῷ 778, ὁμοίως δὲ καὶ περὶ τῆς συγχρόνου τῶν Σαξόνων ἐπαναστάσεως[38], καὶ τὴν ἀσθένειαν αὐτοῦ τεκμηράμενοι, εὔκαιρον ἡγήσαντο νῦν ἐπιδιῶξαι τὸ διὰ τοῦ Συνοδέσμου τοῦ 775 σκοπούμενον: τὴν ἔξωσιν τῶν Φράγκων ἐξ Ἰταλίας, καὶ τὴν παλινόρθωσιν τῆς

---

per nostris episcopis et fideles b. Petri eis direximus ... sed ad nostris obtulibus conjugare noluerunt. Tamen et fratrem nostrum Philippum seu Pascalem ... eis direximus ... Nec non nostris admonitionibus se accommodare voluerunt. — 33 Αὐτόθ.: Sed petimus te ... fili ... ut Beneventanos per vestra scripta ... atque vestrum missum praetestandum dirigere *jubeatis*, ut a tale iniqua operatione rescipescere debeant et in nostris Campaninos talia immittere. — 34 Ἄνωτ. § 21. σημ. 48. — 35 Cod. Carol. ep. 62: Disposuimus generalem nostrum exercitum illuc dirigere, qui eos constringere debeant. — 36 Κατωτ. § 34. σημ. 45. πρβλ. Strauss, αὐτ. 14. σημ. 3. 5. Harnack, αὐτ. 13. σημ. 3. Richter, ann. 780 c. — 37 Ἰδ. Abel, Jahrb. 210. 256—57. — 38 Τὰ καθ' ἕκαστα παρὰ Richter, ann. 778. a. c.

Βυζαντινῆς Ἐξαρχίας καὶ τοῦ βασιλείου τῶν Λογγοβάρδων. Καὶ εἰ μὲν ἐδοκίμασαν ἑλκύσαι πρὸς τοῦτο τοὺς δύο τοῦ Συνδέσμου δοῦκας, Ῥεγινάλδον Κλουσιου καὶ Ἱλδεμβράνδον Σπολητίου, οὐκ ἔχω εἰπεῖν. Τὸ ὅτι μέντοι ὁ δεύτερος ἀπῆλθε τῷ θέρει τοῦ 779 εἰς Φραγκίαν καὶ εὐμενέστατα ὑπὸ Καρόλου ἀποδεχθείς, μετὰ πολλῶν δώρων ἀπεστάλη εἰς Σπολήτιον[39], πιθανὸν καθίστησιν, ὡς ἔμοί γε δοκεῖ, ὅτι ἐκλήθη συνεργῆσαι ὑπὲρ τοῦ γενικοῦ σκοποῦ. Ἀπεχθανόμενος ὅμως τὴν Δεσιδερίου γενεάν, διὸ δὴ καὶ ἀπεσκίρτησεν αὐτοῦ πολιορκουμένου τῷ 774, πρῶτος δὲ τοῦ Συνδέσμου τοῦ 775, καὶ ἀρκούμενος τῇ ὑπὸ Κάρολον ἀσφαλεῖ, ὡς οἴετο, ἐλευθερίᾳ αὐτοῦ, ἠρνήσατο συνεργῆσαι ὑπὲρ τοῦ Δεσιδερίου υἱοῦ Ἀδάλγιδος, καὶ προσελθὼν Καρόλῳ μετὰ δώρων, ἤτοι προὔδωκε τὰς Ἐλπιδίου καὶ Ἀρίχιδος βουλάς, ἢ μόνον διεβεβαιώσατο περὶ τῆς εἰλικρινείας αὐτοῦ, περὶ παπικῶν ῥαδιουργιῶν προνοούμενος. Ἀγνοῶν δ' ἴσως τοῦτο Ἐλπίδιος, ἀνήγγειλε Χαζάρῳ τὴν κατάστασιν, ὁ δὲ συνέθετο ἀποστεῖλαι εἰς Βενεβεντὸν Ἀδαλγιν μετὰ στρατοῦ. Περὶ στρατείας δ' ἐπὶ ἄνω Ἰταλίαν οὐκ ἂν δήπου ἐγένετο λόγος, τοῦ δουκὸς Φοροϊουλίου Ῥοδογαύδου ἐκλελοιπότος, ὅλων δὲ τῶν πόλεων τῆς Λογγοβαρδίας ὑπὸ Φράγκων φρουρουμένων νῦν καὶ κυβερνωμένων[40]. Ὡς ἐκ τοῦ καιροῦ δέ, καθ' ὃν ταῦτα ἐν τῇ Δύσει συνέβαινον, ἡ Ἀδάλγιδος στρατεία ὡρίσθη τῷ ἔαρι, ᾗ ἔθος, τοῦ 780, καὶ ἐγνωρίσθη Ἐλπιδίῳ[41]. Ὁ δέ, ὅπως εὔλογον παρασκευάσῃ πολέμου ἀφορμήν, ἀπῄτησε φθίνοντι Μαρτίῳ 780 παρὰ τοῦ πάπα τὴν Ταρρακίναν διά τινος Πέτρου, ὑπὸ τοῦ δουκὸς τῆς Νεαπόλεως (Νικηφόρου;) εἰς Ῥώμην ἀποσταλέντος[42]. Καὶ συνέθετο μὲν Ἀδριανὸς τῇ ἐκχωρήσει, πρὸ ταύτης ὅμως ἀπῄτησε τὰ ἐν Νεαπόλει Πατριμόνια, ἕως δ' ἂν ἐγκρίνῃ καὶ ἀποδῷ ταῦτα ὁ τῆς Σικελίας στρατηγός, ᾧ ὑπετάσσετο Νεάπολις, πεντεκαίδεκα ὁμήρους ἐκ τῶν τέκνων τῶν Νεαπο-

39 Lauriss. maj. 779: Karolo revertento partibus Austriae, obtulit se Hildebrandus dux Spolitinus cum multa munera in praesentiam regis in villa, qui vocatur Virciniacum (Verzenay). Ann. Einh. 779: Quem et *benigne suscepit* et *muneribus donatum* in ducatum suum remisit. — 40 Ἰδ. Richter, ann. 776. a. — 41 Προκεχωρηκότι θέρει ἀπῆλθε Ἱλδεμβράδος πρὸς Κάρολον, μεθ' ὃ κατ' εἰκασίαν ἔταξα τὴν εἰς Βυζάντιον ἀνακοίνωσιν, ᾗ ἐπηκολούθησεν ἡ Χαζάρου ἀπόφασις. — 42 Τῷ Πάσχα, 26 Μαρτιου, 780 ἦν ἐν Ῥώμῃ ὁ Πέτρος. Cod. Carol. ep. 66.

λιτῶν εὐπατριδῶν[43]. Ἐβολιεύετο μέντοι ὁ πάπας· ὡς γὰρ Καρόλῳ ἔγραψεν οὐκ ἐσκόπει, οὔτε Ταρρακίναν οὔτε τοὺς ὁμήρους ἀποδοῦναι[44], πάντως δήπου μετὰ τὸ κατασχεῖν τὰ Πατριμόνια. Ἀλλ' ὁ Ἐλπίδιος, ἐννοήσας, ὡς δοκεῖ τὸν παπικὸν δόλον, καί, ὡς εἴρηται, ἀφορμὴν θέλων πρὸς πόλεμον παρασκευάσαι, μὴ ἐκχωρήσας τὰ Πατριμόνια, ὑπέταξε πολλῷ μᾶλλον ἐκ νέου, μετὰ τῶν Νεαπολιτῶν ἄφνω ἐπιπεσών, τὴν Ταρρακίναν[45]. Τί δὲ ὁ πάπας; Φρικιῶν, ἐμνήσθη πάλιν Καρόλου καὶ διὰ γραφῆς μαινομένου (οὐ γὰρ ᾔδει οὔτε περὶ τίνος, οὔτε πρὸς τίνα ἔγραφεν), ᾔτησε παρ' αὐτοῦ ἐκπέμψαι ὡς τάχιστα μεγάλην στρατιὰν ὑπό τινα Βουλφουίνον, ἐκ Τουσκίας, Σπολητίου καὶ αὐτοῦ τοῦ Βενεβεντοῦ συλλέξας, ὅπως οὐ τὴν Ταρρακίναν μόνην, ἀλλὰ Θεοῦ συναιρομένου καὶ τὴν ἕδραν τοῦ στρατηγοῦ Σικελίας Καιάταν καὶ αὐτὴν τὴν Νεάπολιν ὑποτάξῃ[46]. "Ὁ γὰρ Βενεβέντου Ἄριχις, ἔγραψεν Ἀδριανός, καθ' ἑκάστην ἀναμένει ἐκ Βυζαντίου τὸν Δεσιδερίου Ἀδαλγιν, ὅπως σὲ πολεμήσῃ ἐν ἐμοί"[47]. Καὶ οὕτως μὲν εἶχον τὰ πράγματα, ἃ διὰ τοῦ προδότου ἐπισκόπου Νεαπόλεως Στεφάνου ἔμαθεν ἴσως Ἀδριανὸς καὶ λεπτομερέστερον ἢ ἐν τῇ γραφῇ ταύτῃ ἀνεκοινώσατο Καρόλῳ βραδύτερον διὰ τοῦ διακόνου Ἄδωνος,

---

43 Cod. Carol. ep. 66: ... ut XV obsides ex nobilissimis eorum filiis nobis dantes ... Terracinam illi colligerent sub ea videlicet ratione, ut issent ad Patricium eorum in Sicilia et, si nostrum Patrimonium reddere voluissent, ipsam civitatem et obsides reciperent. — 44 Συνέχ.: *Sed nos* sine vestro consilio *neque obsides neque ipsam civitatem reddere habuimus*· eo quod *pro vestro servitio ipsos obsides apprehendere cupiebamus.* — 45 Αὐτόθ.: Qualiter nefandissimi Neapolitani una cum ... Graecos, praebente maligno consilio Arighis duce Beneventano, subito venientes, Terracinencem civitatem, *quam in servitio b. Petri antea subjugavimus* ... invasi sunt. — 46 Αὐτόθ.: Sed poscimus vestram excellentiam ut ... pro amore C. Petri ... disponeret debeat et celeriter nobis Vulfuinum dirigere ... ut cum omnes Tuscanos seu Spoletinos atque *cum ipsos Beneventanos* (!!!) in servitio *vestro* pariterque nostro ad recolligendum ipsam Terracinensem eveniant, simulque Domino annuente *ad expugnandum ... Caetam* seu *Neapolim* ... Τὸ. σημ. 48. — 47 Αὐτόθ.: Arichis *cotidie* ad istam perditionem *filium Desiderii, dudum regi Langobardorum, expectat ut una cum ipsum pro vobis nos expugnent.*

ὡς ὀψόμεθα. Μαρτίῳ ὅμως ἀρχομένῳ 780 εἰκονομαχήσαντος Χαζάρου, μὴ κυβερνώσης .δ' Εἰρήνης, ἡ ἐξεώσθη τῶν βασιλείων, Ἄδαλγις οὐκ ἐξεπέμφθη εἰς Βενεβεντόν, καὶ τὰ αὐτοκρατορικὰ βουλεύματα ἐναυάγησαν καὶ πάλιν.

§ 35. Τῆς ἐγκαταλείψεως ὅμως τοῦ σχεδίου μὴ δήλης γενομένης ἐν τῇ Δύσει, ἡ πρὸς Κάρολον παπικὴ γραφή, λίαν ἀσυνήθης οὖσα (οὐ γὰρ ἦν πλήρης ἀξιώσεων ἐπὶ πόλεων καὶ χωρῶν, ὀλίγιστον δ' ὡς ἐκ τῆς τοῦ λόγου σειρᾶς ἐμιμνήσκετο τοῦ ἐν Νεαπόλει Πατριμονίου[48]), σφόδρα ἐξέπληξεν, ὡς δοκεῖ, αὐτόν. Ἡ γὰρ ἔχθρα τοῦ ἐπὶ ἔτη τέσσαρα πολλαχῶς καταφρονηθέντος πάπα λίαν ἦν φοβερά. Εἰ δὲ Κάρολος οὐ περὶ ταύτης ἐμερίμνα, εἶχε μέντοι μαθὼν τὴν ἀπρόοπτον Χαζάρου Εἰκονομαχίαν, εὐλόγως ἂν ἑώρα ἐν τῇ μεταβολῇ ἐνδεχομένην ἀντιπαπικήν, ἄρα καὶ ἀντιφραγκικὴν πολιτείαν καὶ ἑπομένως τὸ διίστασθαι ἐπὶ πλεῖον τοῦ μόνου αὐτοῦ συμμάχου, τοῦ πάπα, ταὐτὸ ἦν τῷ πρὸς ἑαυτὸν πολεμεῖν ἐν Ἰταλίᾳ. Καὶ ὅμως ἐπῆλθεν αὐτῷ, ἡγοῦμαι, ὅτι οὐκ ἀδυνάτως εἶχεν ὁ πάπας ἀνυποστάτους δημιουργῆσαι κινδύνους, ὅπως ἀναγκάσῃ αὐτὸν καθ' Ἑλλήνων καὶ Λογγοβάρδων πολεμῆσαι (ὄντως δὲ καὶ τὸ τῆς ἐπιστολῆς ὕφος προδίδωσι τοιοῦτό τι[49]) καὶ τούτου ἕνεκα, πρὶν ἢ ἀποφασίσῃ περὶ τοῦ πρακτέου, ἀπέστειλεν εἰς Ῥώμην τὸν διάκονον Ἄδωνα, ὅπως ἄξιον πίστεως ἔξῃ τῶν συμβάντων μάρτυρα[50]. Ἐπανελθόντος ὅμως τούτου εἰς Φραγκίαν, Αὐγούστῳ

---

48 Συνέχ. σημ. 46: seu Neapolim nostrum recolligendes Patrimonium, quod ibidem in territorio Neapolitano ponitur. — 49 Ἓν πρώτοις γράφει συντομώτατα καὶ ἀσαφῶς περὶ τῶν Αὐτοκρατορικῶν σχεδίων (σημ. 47)· εἶτα δ' ἀμνημονήσας τῆς τετραετοῦς αὐτοῦ κολάσεως, ἄγαν ἀφωσιωμένος δείκνυται Καρόλῳ καὶ ἀφιλοκερδής! Nos quidem, γράφει, pro nihilo (?!!) deputamus ipsam civitatem Terracinensem, sed ut non per illum vitium incurrat, ut infideles Beneventani ... locum invenientes, a vestra subtrahantur fide. Ῥητέον δ' ὅτι ἐν τῇδε τῇ γραφῇ (Cod. Carol. 66) εὕρηται καὶ ὁ ἔξοχος τὴν ποιότητα παπικὸς δόλος, § 34. σημ. 44. — 50 Cod. Carol. 67. Ναὶ μὲν διαρρήδην οὐ λέγεται, ὅτι ἀπεστάλη Ἄδων (Ado) εἰς Ῥώμην μετὰ τὸ λαβεῖν Κάρολον τὴν παπικὴν γραφήν, ὑπονοεῖται μέντοι. Ἄλλως γὰρ ἄπορον ὅλως πῶς Κάρολος ἄνευ σοβαρᾶς ἀφορμῆς ἐμνήσθη τοῦ πάπα καὶ φιλικώτατα ἐπρεσβεύσατο αὐτῷ μετὰ τετραετῆ κατάθλιψιν καὶ ἐξευτελισμόν. Πρὸς δὲ τούτοις ἡ ἐσχάτη παράγραφος τῆς παπικῆς ἐπιστολῆς (Cod. Carol. 67), ἣν

περίπου τοῦ 780, οὕτω σοβαρὰ κατεῖδε Κάρολος ἐκ τῶν λόγων αὐτοῦ τὰ ἐν Ἰταλίᾳ, ὥστε οὐχ ἱκανὸν ἡγήσατο νῦν τὸν Βουλφουίνον ἀποστεῖλαι πρὸς ἄλωσιν Ταρρακίνης, Καιάτης καὶ Νεαπόλεως, ὡς παραλαλῶν ἀπήτησεν ὁ πάπας, ἀλλ' ἐπάναγκες αὐτὸς ἀπελθεῖν ἐκεῖσε. Διὸ δή, πρὶν ἢ δύνηται μαθεῖν Χαζάρου θάνατον καὶ Εἰρήνης ἀνάρρησιν, ἀπῆρε πανοικεὶ εἰς Ἰταλίαν, ἐν Παυίᾳ δ' ἑώρτασε τὴν τοῦ Χριστοῦ γέννησιν[51].

§ 36. Τῷ καιρῷ δ' ἀκριβῶς τούτῳ ἀπαλλαγεῖσα Εἰρήνη τῆς τῶν Κοπρωνυμιδῶν συνωμοσίας, καὶ περὶ τῶν Στρατηγῶν τῶν Θεμάτων μεριμνῶσα, ἀνεκαλέσατο καὶ τὸν Ἐλπίδιον ἐκ τῆς Σικελῶν νήσου. Ἐν τῇ τούτου μέντοι κλήσει ἀδυνατῶ μὴ ἐνιδεῖν καὶ ἕτερον λόγον πρὸς τῷ γενικῷ, ὃν τεκμαιρόμενος ἐξεθέμην, τὸ γνωρίσαι δηλονότι ἐξ αὐτοῦ σαφῶς τὰ Ἰταλικὰ καὶ καταμαθεῖν, εἰ τὰ ὑπὲρ Ἀδάλγιδος βουλεύματα αὐτῆς ἦσαν ἐκτελέσιμα. Ἄδαλγις γὰρ ἔμενεν ἐν Βυζαντίῳ καὶ πάντα λίθον ἐκίνει, τὸ δὴ λεγόμενον, πρὸς τὸ βασιλεῦσαι Λογγοβάρδων, ἡ δ' αὐτοκράτειρα ἤλπιζε διὰ τούτου ἀνακτήσασθαι τὴν ἐπὶ Εἰκονομάχων τῆς αἱρέσεως ἕνεκεν ἀπολεσθεῖσαν ἐν Ἰταλίᾳ δύναμιν. Ἐκ τῶν συμβάντων δ' αὐτόθι πρὸ τῆς καὶ μετὰ τὴν Ἐλπιδίου κλῆσιν δύναταί τις εἰκάσαι ὡς ἐδίδαξεν οὗτος αὐτὴν περὶ πάντων, ἐθάρρυνε δηλονότι αὐτὴν πρὸς ἐνέργειαν, ὅπως, προβληθεὶς ὡς ἔμπειρος τῶν σχεδίων ἐκτελεστής, εὐκαιρήσῃ ἐντεῦθεν τυχεῖν τοῦ ποθουμένου. Οὐκ ἀπίθανον δὲ τὸ παράπαν, ὅτι ἐγνώσθη κατὰ τὴν στιγμὴν ταύτην ἡ Καρόλου ἔλευσις εἰς Ἰταλίαν· ἡ δ' αὐτοκράτειρα σπουδαιότατα στρατηγὸν προβαλοῦσα Ἐλπίδιον "ὡς καὶ προστρατηγήσαντα τῶν ἐκεῖσε", ἀπέλυσεν εἰς Σικελίαν Φεβρουαρ. τοῦ 781[52] μεθ' ὡρισμένου βεβαίως

Ἄδων ἐκόμισε Καρόλῳ, δηλοῖ ὅτι οὗτος σαφῶς ἠτήσατο παρὰ τοῦ πάπα μαθεῖν περὶ τῶν ἐν Νεαπόλει. Γράφει γὰρ Ἀδριανός: De autem partibus Neapolitanis . . . omnia *minutius* in ore posuimus . . . Addoni . . . quod vobis *enucleatius* simulque *per ordinem enarrare debeat.* Ὅθεν οὐ συμφωνῶ Abel, Forsch. I. 499, Jahrb. 301. *σημ.* 1. *τἀναντία φρονοῦντι.* — 51 Ann. Lauriss. maj. καὶ Einhardi 780. — 52 Θεοφ. 703. Καὶ εἰ μόλις τῇ Χριστοῦ γεννήσει ἀφίκετο εἰς Παυΐαν Κάρολος, ἠδύνατο μαθεῖν τοῦτο Εἰρήνη ἀρχομένῳ Φεβρουαρίῳ. Ἀναμφιβόλως ὅμως ἀφίκετο πρότερον, ἢ μᾶλλον ἀπῆλθεν ἐκ Φραγκίας πρὶν ἢ εὐκαιρήσῃ μαθεῖν τὸν τῇ 8. Σεπτεμβρ. 780 ἐπισυμβάντα Χαζάρου θάνατον (πρβλ. Harnack, αὐτ. 14), ὃς

σχεδίου ἐνεργείας. Πλὴν ἀλλὰ τὸ πᾶν ἀνετράπη ἐπαναστάντος αὐτοῦ, ἅμα εἰς Σικελίαν ἀφικομένου! Τίς δ' ἤδει, εἰ μὴ ἤτει τὴν Καρόλου προστασίαν πρὸς ἐπίτευξιν τοῦ ποθουμένου; Τί δ' ὄντως ἔμελεν αὐτῷ, εἰ ὀνόματι μὲν μόνον ὑπετάσσετο Καρόλῳ, πράγματι δ' αὐτὸς ἦρχε Σικελίας; Ἡ ἀπόστασις δ' αὐτοῦ, ἣ πολλῷ μᾶλλον ἡ βουλὴ αὐτοῦ (οὐ γὰρ φαίνεται ἐπαναστὰς πρὸ τοῦ ἀποστεῖλαι Εἰρήνην Θεόφιλον εἰς Σικελίαν) ἐγνώσθη ἐν Βυζαντίῳ ἀκριβῶς ὅτε ἀφίκετο εἰς Ῥώμην Κάρολος[53]. Καίτοι δ' ἡ εἰς Ῥώμην ἔλευσις ἄγνωστος ἦν τῇ βασιλίσσῃ, ἤρκει μέντοι αὐτῇ μόνον εἰδέναι ὅτι ἐν Ἰταλίᾳ ἦν, ὅπως εἰς ἀμηχανίαν περιστῇ, ὅπερ ἄριστα ἐξηγεῖται τὴν σπουδὴν αὐτῆς ἐν τῷ ἀποστεῖλαι εἰς Σικελίαν τὸν Ἐλπιδίου καθαιρέτην Θεόφιλον[54].

§ 37. Οὐκ ἀμφιβάλλω δ' ὅτι λίαν μετεμελήθη Κάρολος ἐπὶ τῷ ἐσπευκέναι εἰς Ἰταλίαν. Εἰ γὰρ μικρὸν τὴν κάθοδον ἀνέβαλεν, ἤκουσεν ἄν πάντως περὶ τοῦ ὅτι ἀπεβίω Χάζαρος, καὶ συνεπέρανε τὴν διάλυσιν τῶν ὑπὲρ Ἀδάλγιδος σχεδίων. Εἰ δ' ἐμερίμνα οὐκ ὀλίγον περί τε τῆς στάσεως καὶ τῆς δυνάμεως τοῦ Βενεβεντίνου δουκός, καὶ τούτου μόνον χάριν ἦλθεν ἐκ Παυΐας εἰς Ῥώμην, καθεώρα νῦν τὸ φρονοῦν τῶν ἰδίων φόβων ἐν τῇ Ἐλπιδίου ἀποστάσει, ὃς κυρίως καθίστη ἐπίφοβον τὸν Ἄριχιν. Ὁπωσδήποτε, εἰς Ῥώμην ἀφικόμενος, πρόσφορον ἡγήσατο διττῶς ἐπωφεληθῆναι τῆς αὐτόθι διαμονῆς. Πρῶτον μὲν διὰ τοῦ κορέσαι τὴν πλεονεξίαν τοῦ πάπα διὰ νέων ἐπὶ τοῦ χάρτου δωρεῶν[55], ὅπως ἀδιάσπαστον ἔχῃ αὐτὸν ἐπί τι χρόνου σύμμαχον (πῶς γὰρ ἂν μὴ ἠκολούθει αὐτῷ Ἀδριανός, νέον καὶ οὐ σμικρὸν δῶρον ἰδὼν ἐν ταῖς χερσὶν αὐτοῦ, ἐν τηλικαύτῃ σπάνει καὶ μετὰ τηλικούτους ἀγῶνας;)· δεύτερον δὲ διὰ τοῦ ῥιζοτομῆσαι τὰ οἱονεὶ αὐτομάτως μετὰ τὴν

ὅλως ἂν ἐκώλυσεν αὐτὸν ὁδοιπορῆσαι. Ἰδ. ἑπομ. παράγραφον. — 53 Ἀφίκετο βραχὺ πρὸ τοῦ Πάσχα, 15. Ἀπριλ. 781. Ann. Lauriss. maj. καὶ Einh. 781. Εἰρήνη δ' ἔμαθεν ὅτι "τὰ τῶν Καισάρων ἐφρόνει" Ἐλπίδιος αὐτῇ τῇ ἡμέρα τοῦ Πάσχα. — 54 Τὰ καθ' ἕκαστα ἀνωτ. § 28. — 55 Ἐδωρήσατο αὐτῷ ἀκεραίαν τὴν τῶν Σαβίνων χώραν· λέγω δ' "ἐπὶ χάρτου" διὰ τὸ μηδέποτε περιελθεῖν ταύτην τῇ παπικῇ κατοχῇ. Petimus te, γράφει Ἀδρ. βραδύτερον, ut sicut a vestra excellentia beato Petro . . . Sabinense territorium sub integritate consessum est, ita eum tradere integro . . . Apostolo dignemini. Cod. Carol. ep. 74. Πλείῳ ἐν ep. 70—73. πρβλ. Abel, Forsch. I. 503. Jahrb. 312.

Δεσιδερίου πτῶσιν φυόμενα ἐν Ἰταλίᾳ ζιζάνια. Ὅρα δ' ὅπως. Πειθήνιον ἔχων νῦν τὸν πάπαν ὄργανον, ἐχρήσατο τῷ ἐκκλησιαστικῷ αὐτοῦ ἐν Δύσει κύρει πρὸς τὸ ὑποτάξαι τὸν Βαυαρίας δοῦκα Θασσίλωνα, οὗ ἡ πρὸς τὸν Βενεβεντοῦ Ἄριχιν καὶ πρὸς τὸν ἐν Βυζαντίῳ Ἀδαλγιν συγγένεια ἦν αὐτῷ πέτρα σκανδάλου. Ἐβουλεύσατο οὖν πρεσβεύσασθαι αὐτῷ μετὰ τοῦ πάπα καὶ ὑπομιμνήσκων τὸν τῆς ὑποτελείας ὅρκον, ὃν ὤμοσε Πιπίνῳ καὶ τῇ γενεᾷ αὐτοῦ ἐν τῇ βουλῇ τοῦ Compiègne[55a], καλέσαι αὐτὸν ἀναγνωρίσαι τὴν ἑαυτοῦ κυριότητα[56]. Τὸ ὅτι δ' ἐν Ῥώμῃ μένων ἐβουλεύσατο οὕτω, καὶ τὸ ὅτι, ἅμα βραδύτερον εἰς Βαυαρίαν τῆς πρεσβείας ἀφικομένης, ἑτοιμότατα ἐνέδωκε Θασσίλων τῇ αἰτήσει, καὶ προσελθὼν Καρόλῳ ἐν Βορματίᾳ, ὤμοσε τὸν τῆς ὑποτελείας ὅρκον, δώδεκα λογάδας Βαυαροὺς δοὺς αὐτῷ ὁμήρους[57], ἄγει με εἰς τὸ συμπέρασμα ὅτι, γενομένης ἐν Ῥώμῃ ἐρεύνης περὶ τῆς Ἑλλήνων καὶ Λογγοβάρδων συνωμοσίας, οὐχ εὑρέθη ἀμέτοχος Θασσίλων[58]. Ἐπειδὴ δ' ἡ ἐπιβουλὴ ἀμέσως μὲν τὸν πάπαν, ἐμμέσως δὲ Κάρολον ἐσκόπει, τούτου ἕνεκεν διὰ κοινῆς πρεσβείας ἐκλήθη Θασσίλων ὑποταγῆναι Φράγκοις, καθ' ἣν στιγμὴν ἡ Ἐλπιδίου ἀπόστασις, ἀπομονοῦσα καὶ ἐξασθενίζουσα Ἄριχιν, καὶ ἄρδην ἀνέτρεπε τὰς ὑπὲρ Ἀδάλγιδος βουλὰς τῆς Αὐτοκρατείρας. Καὶ Θασσίλων μέν, ἑκὼν ἄκων, ἀβοήθητος μένων διὰ τὰ ἐν Σικελίᾳ, ὑπετάγη μικρὸν ὕστερον, ὡς ἄρτι εἴρηταί μοι, ἐξ εὐθετωτέρων καιρῶν τὴν ἐλευθερίαν ἐκδεχό-

---

55a Ἴδ. ἀνωτ. κεφ. Β'. σημ. 52. — 56 Ann. Einh. 781: Cum Romae esset, convenit inter ipsum et — Hadrianum — ut simul legatos mitterent ad Tassilonem ... qui cum commonerent de sacramento, quod Pippino regi et filiis ejus ac Francis juraverat, scilicet, ut subjectus et oboediens eis esse deberet. — 57 Lauriss. maj. 781: Carolus reversus est in Franciam et tunc missi sunt duo missi ab — Hadriano ... ad Tassilonem ... una cum missis — Caroli — ad commonendum ... ut reminisceret ... sacramentorum suorum ... et tunc consenssit Tassilo ... et conjugens se ... in praesentiam regis ad Wormatiam ... ibi renovans sacramenta et dans XII obsides electos ... — 58 Οὕτω φρονεῖ καὶ Abel, Forsch. I. 501. σημ. 1. Ὄντως δὲ καὶ ἡ Θασσίλωνος ἐπανάστασις, ἣ προηγήθη τῆς ἐν Βορματίᾳ ὑποταγῆς κατὰ τὸ Chronicon Sigeberti 780. (MG. SS. VI. 334) περὶ ἧς τὰ Καρόλεια Χρονικὰ σιγῶσι, τοῦτο, οἶμαι, δηλοῖ. πρβλ. Richter, ann. 781. b.

μενος. Κάρολος δέ, βέβαιος ὢν ἐν Ῥώμῃ περὶ τῆς Θασσίλωνος ὑποταγῆς (τίς γὰρ οἶδε οἵοις συνετέτακτο τὸ τῆς Πρεσβείας ultimatum λόγοις), πράγμασιν ἀπεκρίνατο τοῖς ἐν Βυζαντίῳ: τῷ Πάσχᾳ (15. Ἀπριλ. 781) βαπτίσας τὸν τετραετῆ υἱὸν αὐτοῦ Καρλομάννον, ὃν Ἀδριανὸς ἀναδεξάμενος Πιπῖνον μετωνόμασεν, ἔστεψεν αὐτὸν αὐθημερὸν διὰ τοῦ τῆς Δύσεως πατριάρχου βασιλέα τῆς Ἰταλίας[59], καὶ ἀπελθὼν εἰς Παυΐαν, τὴν βασιλίδα τῶν Λογγοβάρδων πόλιν, ἐνεθρόνισεν αὐτὸν ἐκεῖ Ἰουνίῳ μηνί[60], ὅτε περίπου Εἰρήνη, μαθοῦσα τὴν ὑπὲρ Ἐλπιδίου ἀπόστασιν τῶν Σικελῶν, ἠναγκάσθη ἐπὶ Ἄραβας στρατεύσασθαι[61].

§ 38. Ἕως οὗ δὲ πολεμήσασα τούτους νικήσῃ, ἐγνώσθη πάντως δήπου ἐν Βυζαντίῳ ἡ Πιπίνου ὡς διαδόχου Δεσιδερίου ἐνθρόνισις[62]. Ἐν τῷ ἀσχολεῖσθαι δὲ νῦν ἐμμέσως καὶ περὶ τὰ τῆς πίστεως[63], ἔμαθε βεβαίως τὴν Θασσίλωνος ἐν Βορματίᾳ ὑποταγήν[64], Ἐλπιδίου ἐν τούτοις σὺν ὅλῃ τῇ Βυζαντινῇ ἐν τῇ Δύσει ἐπικρατείᾳ ἐν ἀποστάσει διατελοῦντος[65]: στιγμὴ κρισιμωτάτη τῇ Ῥωμαίων αὐτοκρατορίᾳ, ἐπιτακτικῶς καὶ δὴ ὡς τάχιστα παρὰ τῆς Ἀθηναίας ἀπαιτοῦσα οὐκ εὐβουλίαν μόνον, ἀλλὰ τελείαν πολιτείας ἐν Ἰταλίᾳ μεταβολήν, εἰ ἤθελε μὴ ἰδεῖν τέλεον σβεννυμένην τὴν Αὐτοκρατορικὴν ἐν τῇ Δύσει ἐξουσίαν. Οὕτω δὲ καὶ ἐγένετο. Εἰρήνῃ ἔδοξεν ἐπάναγκες συνδιαλλαγῆναι Καρόλῳ. Φόβος δὲ μὴ δυσπιστήσῃ οὗτος τῇ εἰλικρινείᾳ τῆς

---

59 Lauriss. maj. 781: Celebravit Pascha in Roma. Et ibi baptizatus est filius ejus Pippinus ab Adriano papa, qui et ipse eum de sacro fonte suscepit. — Ann. Mosellani, SS. XVI. 497: Baptizatus est ... Carlomannus, quem Adrianus papa mutato nomine vocavit Pippinum et unxit in regem super Italiam. *πρβλ.* Abel, Forsch. I. 501. Jahrb. 312. Richter, 781. b. — 60 Ann. Einh. 781: Pippinus in Langobardia rex constitutus est. *πρβλ.* Abel, Jahrb. 319. Richter, 781. e. Ἄδηλον δὲ *πόστῃ* τοῦ Ἰουνίου *ἡμέρᾳ* Abel *αὐτ. σημ.* 3. — 61 Ἀνωτ. § 28—29. — 62 Ἰουνίῳ *ἐστράτευσε· τὴν δὲ νίκην οὐκ ἂν εὐηγγελίσθη πρὸ τέλους Αὐγούστου.* — 63 Ἀνωτ. § 30. — 64 Συνέβη Αὐγούστῳ ἢ ἀρχομ. Σεπτεμβρίῳ 781, (ἴδ. Abel, Jahrb. 326) *καὶ ἠδύνατο γνωσθῆναι* Ὀκτωβρίῳ *μηνί.* — 65 Τῷ Στρατηγῷ Σικελίας *ὑπετάσσετο τὸ δουκᾶτον τῆς* Νεαπόλεως *καὶ ἡ* Καλαβρία. Ἴδ. Hegel, Geschichte der Städteverfassung in Italien, I. 224. *πρβλ.* Abel, Forsch. I. 496.

ἔχθιστα μέχρι νῦν πρὸς αὐτὸν πολιτευσαμένης οὐχ ὑπῆρχε. Ναὶ μὲν Εἰρήνη κατ' αὐτοῦ ἐβουλεύετο ὡς κυβερνῶσα ἐπὶ Χαζάρου· τοῦτο μέντοι δῆλον οὐκ ἦν. Πάνυ δ' εὐλόγως ἠδύνατο ἡ περὶ φιλίας πρότασις αὐτῆς ἐκληφθῆναι ὑπὸ Καρόλου σημαίνουσα, ὅτι οὐ συνεφώνει αὕτη τῇ ὑπὲρ Λογγοβάρδων κατὰ Φράγκων πολιτείᾳ τοῦ ἀνδρὸς καὶ τούτου χάριν μετέβαλε βῆμα· τοῦτο δ' ἦν βεβαίως δυνατόν, μόνον εἰ ὁ ἀποστάτης Ἐλπίδιος οὐκ εἶχε πρὸς Κάρολον πρεσβευσάμενος μετὰ τὸ ἐπανελθεῖν αὐτὸν εἰς Φραγκίαν. Τί δὲ ὁ ἐν Βυζαντίῳ Ἀδαλγις; Τὰ συμφέροντα ἑνὶ καὶ τούτῳ ξένῳ, οὐκ ἠδύνατο τὰ τῇ Ῥωμαίων αὐτοκρατορίᾳ ὑποσκάψαι συμφέροντα· ἐνώπιον τῶν ἐν Ἰταλίᾳ συμβάντων ὤφειλεν ἤτοι μόνον ἐλπίζειν τῇ τύχῃ, ἢ ἀρκεσθῆναι τῇ νῦν πρῶτον, ἡγοῦμαι, ἀπονεμηθείσῃ αὐτῷ ἀξίᾳ τοῦ Πατρικίου, ὅτε καὶ μετωνομάσθη Θεόδοτος[66].

§ 39. Ἀλλ' ἕτερον ἦν τὸ συνδιαλλαγῆναι Καρόλῳ, καὶ ἕτερον τὸ πῶς συνδιαλλαγῆναι· ἕτερον τὸ ὑποκύψαι τῇ μεγάλῃ ἀνάγκῃ τοῦ μεταβαλεῖν πολιτείαν, καὶ ἕτερον τὸ ὠφεληθῆναι τὴν Αὐτοκρατορίαν ἐκ τῆς μεταβολῆς, καὶ οὐκ ἐν τῷ παρόντι μόνον, ἀλλὰ κἂν τῷ μέλλοντι κυρίως, καὶ δὴ καὶ πολλαπλῶς ὠφεληθῆναι καὶ κατὰ πολιτικῶν ἀπανταχοῦ καὶ κατὰ ἐκκλησιαστικῶν ἐχθρῶν. Διὸ οὐ διστάζω πιστεῦσαι, ὅτι οὔ τι ἄλλο τοσοῦτον ἀπησχόλησε τὸ πολιτικὸν τῆς Ἀθήδος ὄμμα, ὅσον ἡ πρὸς Κάρολον συνδιαλλαγή. Ἀλλὰ καὶ τὸ τῆς μελέτης προϊὸν θαυμάσιον ἦν, εὐχαῖς τε καὶ ἐλπίσιν ἀνταποκρινόμενον. Οἷον δέ; Ἠβουλήθη νυμφεῦσαι τὸν ἑνδεκαετῆ Αὐτοκράτορα τῇ ὀκταέτιδι Καρόλου θυγατρὶ Ἐρυθροῖ, ποιῆσαι δηλαδὴ τὸν πεφημισμένον Κάρολον ὥστε προνοεῖσθαι περὶ τῆς Ῥωμαίων βασιλείας ὡς περὶ τῆς Φράγκων· προστατεῖν αὐτῆς λόγῳ τε καὶ ἔργῳ, εἴτε κατ' Ἀράβων, εἴτε κατὰ Βουλγάρων· μὴ κακὰ τεκταίνεσθαι κατὰ τῶν Ἑλληνικῶν Ἰστρίας

---

66 Ὅτι μὲν ἐγένετο Πατρίκιος, ἴσμεν ἐκ τῶν Καρολείων Χρονικῶν: Ann. Einh. 774: Adalgis ... ad Constantinum Imperatorem se contulit, *ibique in patriciatus ordine* atque honore consenuit· ὅτι δὲ ἅμα ἀφικόμενος, ῥηξ ὢν Λογγιβαρδίας καὶ τὸ ἑαυτοῦ βασίλειον ἀνακτήσασθαι ποθῶν καὶ ἐνεργῶν, ἀπίθανον ὅλως δοκεῖ μοι· τοὐναντίον φυσικώτερον ὅτι νῦν πρῶτον ὑπὸ τῆς Εἰρήνης τῷ ἀξιώματι ἐτιμήθη ὡς τῆς διαψεύσεως τῶν ἐλπίδων ἀντισήκωμα, ὀνομασθεὶς καὶ Θεόδοτος κατὰ τὴν προχείρισιν.

καὶ Βενετίας ἐπαρχιῶν[67], καὶ τῆς Ῥώμης αὐτῆς,[68] ὧν ἡ ἰδία θυγάτηρ ἔμελλεν εἶναι βασίλισσα· τῇ στιγμῇ δὲ ταύτῃ μὴ βοηθῆσαι Ἐλπιδίῳ τῷ ἀποστάτῃ, εἰ ἐξελιπάρει τὴν προστασίαν αὐτοῦ. Εἰ δ' ἐν τῷ βουλεύεσθαι οὕτως ἐπῆλθεν Εἰρήνῃ τὰ μεταξὺ Κοπρωνύμου καὶ Πιπίνου συμβάντα, τὰ τῆς μνηστείας δηλονότι Χαζάρου καὶ Γιζέλας, εἰ ἐφαντάσθη δηλαδὴ τὸ δυνατὸν τοῦ ἀπώσασθαι Κάρολον τὴν ἔξοχον ταύτην τιμὴν διὰ τὴν Εἰκονομαχίαν, ὥσπερ καὶ Πιπῖνος, κἂν τούτῳ ἐσκόπει γνωρισαι αὐτῷ ὅτι, αὐτὴ μὲν σὺν τῷ υἱῷ ὠρθοδόξουν, ἡ δ' Ὀρθοδοξία ἔμελλεν εἶναι, Θεοῦ συναιρομένου, παλινωρθωμένη, ἕως ἂν συζευχθῶσιν οἱ νυνὶ μνηστευόμενοι ἀνήλικοι. Τοιούτῳ δὲ τῷ τρόπῳ σχεῖν ἐν τῇ συνδιαλλαγῇ καί τινα βοήθειαν ἐν τοῖς ἐκκλησιαστικοῖς.

§ 40. Οὐκοῦν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτῆς,[69] τουτέστι μετὰ τὴν 8. Σεπτεμβρ. 781 "ἀπέστειλεν Εἰρήνη Κωνσταντῖνον Σακελλάριον καὶ Μάμαλον πριμικήριον πρὸς Κάρουλον, ῥῆγα τῶν Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέρα, Ἐρυθρὼ λεγομένην, νυμφεύσηται τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς"[70]. Καὶ ποίῳ μὲν μηνὶ τοῦ ϛ'. ἔτους τῆς βασιλείας αὐτῆς, ἤτοι τῆς ε'. Ἰνδικτιῶνος, ποῖ δὲ Δύσεως ἀπέστειλεν αὐτοὺς Εἰρήνη, οὐ λέγουσιν "Ελληνες Χρονογράφοι· οὗπερ ἕνεκα, ἀπαξά-

---

67 Αἱ ἐπαρχίαι αὗται, τῷ πάπα ἐκκλησιαστικῶς ὑποκείμεναι, ἀπεστρέφοντο τὸ Βυζάντιον διὰ τὴν Εἰκονομαχίαν, τοῦ πάπα ἐκ πολιτικῶν λόγων τὸ μῖσος διὰ τῶν αὐτόθι Ἐπισκόπων ὑποθάλποντος. Εἴδομεν τὴν προδοσίαν τοῦ Γράδων Ἰωάννου (§ 20) πλείω δ' ὁμοια ἐφεξῆς. Ὡς δὲ Βενεβεντίνοις (§ 33 σημ. 33), οὕτω καὶ τοῖς ἐν Ἰστρίᾳ ἐπιτάσσειν ἐκάλει ὁ πάπας Κάρολον· ὁ δέ, μὴ ἀπαρεσκόμενος τούτοις (ἁλούσης γὰρ τῷ 774 Παυΐας ἤρξατο τῷ Ῥωμαίων στέμματι ἐποφθαλμιᾷν, ὡς δεδήλωται μοι, ἴδ. καὶ ἐπομ. σημ.), ἐκέλευσεν ἐπίσκοπόν τινα ἐν Ἰστρίᾳ Μαυρίκιον συλλέξαι τὰς αὐτόθι παπικὰς προσόδους. Καὶ ὁ μὲν ὑπήκουσεν, τὸ ποίμνιον μέντοι αὐτοῦ, δεῖσαν μὴ Καρόλῳ ὑποτάξῃ Ἰστρίαν, ἐτύφλωσεν αὐτόν. Cod. Carol. ep. 65. πρβλ. Abel, Jahrb. 258. Venediger, 23. Strauss, 11. Harnack, 12. — 68 Νήπιος ἔτι γενόμενος (§ 12. σημ. 154) καὶ ἀεὶ ὑπὸ τῶν παπῶν "πατρίκιος Ῥωμαίων" ὀνομαζόμενος Κάρολος, πρῶτον μετὰ τὴν Παυΐας ἅλωσιν ἤρξατο χρώμενος τῷ τίτλῳ ἐν τοῖς γράμμασιν αὐτοῦ πρὸς τῷ τοῦ "βασιλέως Λογγοβάρδων". ὅρα Bouquet, Rer. Gall. et Franc. Script. V. 724, Waitz, Deutsche Verfassungsgeschichte III (2 ἔκδ.) 180. σημ. 2. Richter, αὐτ. ann. 774. a. σημ. 1. — 69 Θεοφ. ἔκδ. de Boor 455. Κεδρην. II. 21. — 70 Θεοφ. 705.

παντες, ἐφ' ὅσον οἶδα, οἱ νεώτεροι Ἱστορικοί, ἀποπλανώμενοι ὑπὸ τῶν Annales Laureshamenses[71], παρορῶσι τέλεον τὴν τῶν γεγονότων σειρὰν καὶ ἰσχυρίζονται τὴν μνηστείαν γεγονέναι ἐν Ῥώμῃ, ὅτε Κάρολος ἦν αὐτόθι. Διὰ μακρῶν δ' ἐρευνῶσι καὶ ἀναπτύσσουσι τὸ τί ἂν ὤθησεν Εἰρήνην εἰς Ῥώμην διαπρεσβεύσασθαι Καρόλῳ, ὡς καὶ τὸ τί ἂν ὤθησε τὸν πάπαν συνεργῆσαι τῇ τῆς μνηστείας τελέσει[72]. Πλὴν ἀλλά, Κάρολος μὲν ἦν ἐν Ῥώμῃ ἀπὸ Ἀπριλίου μεσοῦντος ἕως φθίνοντος Μαΐου· τῇ 31 Ἰουνίου, Πεντηκοστῇ, ἦν ἐν Μεδιολάνοις, ὅπου Θωμᾶς ὁ ἀρχιεπίσκ. βαπτίσας, ἀνεδέξατο τὴν ἐν Ἰταλίᾳ ἴσως γεννηθεῖσαν αὐτῷ Γιζέλαν[73]· ἀπῆλθεν ἐντεῦθεν εἰς Παυΐαν πρὸς τὸ ἐγκαθιδρύσαι Πιπῖνον βασιλέα Λογγοβαρδιας[74], καὶ Αὐγούστῳ περιπου μηνί, Ἄλπεις διαβάς, ἀφίκετο εἰς Βορματίαν, ὅπου ἱκανὸν χρόνου μείνας, ἐδέξατο τὸν Θασσίλωνος ὅρκον·[75] τῇ 17. Ὀκτωβρ. ἦν ἐν Κλιπιακῷ ἐπὶ Σηκουάνᾳ[76]· ταχὺ κατόπιν ἐν Ἐρισταλλίῳ[77], Δεκεμβρίῳ δ' ἐν Καρισιακῷ, ὅπου Θασσίλων μὲν ἔπεμψε δώδεκα ὁμήρους διὰ τοῦ Ῥατισβόνης ἐπισκ. Σινετβέρτου[78], ὁ δὲ πάπας πρέσβεις διὰ τὰ συνήθη, διὰ τὴν τῆς Σαβίνων χώρας ἐκχώρησιν[79]. Αὐτόθι δ' ἑορτάσας Χριστοῦ τε γέννησιν 781 καὶ πάσχα (7. Απριλ.) 782, μόλις Ἰουλίῳ ἀπῆρε κατὰ Σαξόνων[80]. Εἰρήνη δ' ἑτέρωθεν, φθίνοντι 780 ἀπαλλαγεῖσα τῶν Κοπρωνυμιδῶν[81], Φεβρουαρίῳ μὲν 781 προὐβάλετο Ἐλπίδιον Στρατηγὸν Σικελίας·[82] Ἀπριλίου δὲ 15 (ὅτε Κάρολος ἔστεφεν ἐν Ρώμῃ Πιπῖνον βασιλέα Λογγοβαρδίας) μαθοῦσα ὅτι ἐκαισαροφρόνει, ἐξέπεμψε τὸν καθαιρέσοντα αὐτὸν Θεόφιλον. Ἰουνίῳ δὲ (ὅτε Κάρολος ἐγκαθίστη ἐν Παυΐᾳ τὸν υἱὸν βασιλέα), μαθοῦσα ἢ μήπω μαθοῦσα τὴν Σικελῶν

---

71 Ann. 781. (MG. SS. I. 32): et ibi — Romae — disponsata est Hruotrut filia regis Constantino Iperatori. Περὶ τῶν Χρονικῶν τούτων ἴδ. Wattenbach, Deutschlands Geschichtsquellen im MA. I. (2. ἔκδ.) 137. — 72 Leibniz, φέρ' εἰπεῖν, Annales Imperii I. 101, Abel, Forsch. I. 502. Jahrb. 315—18. Venediger, 24 . . ., Strauss 16—18, Harnack 14—16, Richter 781. d., Schlosser, 264. — 73 Leibniz, Annales Imperii I. 101. Abel, Jahrb. 322. Richter 781. c. — 74 Ἄνωτ. § 37. σημ. 60. — 75 Lauriss. maj. 781. Abel, Jahrb. 326. — 76 Abel, αὐτ. 332. σημ. 4. Richter, 781. e. — 77 Αὐτόθι. — 78 Αὐτόθι. — 79 Abel, αὐτ. καὶ ἀνωτ. § 37. σημ. 55. — 80 Abel, αὐτ. 338. 342. — 81 Ἄνωτ. § 27. — 82 Ἴδ. ἀνωτ. § 36 ὑπὸ τίνας περιστάσεις καὶ πρὸς τί.

ἀπόστασιν, ἐστράτευσεν ἐπ' Ἄραβας, οὓς ἐνίκησεν, ὅτε ὑπετάσσετο Θασσίλων ἐν Βορματίᾳ, Αὐγούστῳ περίπου 781. Πότε οὖν κατεῖδεν Εἰρήνη τὴν ἀνάγκην τοῦ συνδιαλλαγῆναι Καρόλῳ καὶ μνηστεῦσαι τὸν υἱὸν Ἐρυθροῖ, ἐγκαταλείπουσα Ἄδαλγιν; Πάντως δήπου μετὰ τὴν Πιπίνου ἐγκαθίδρυσιν ἐπὶ τοῦ θρόνου τοῦ Ἀδάλγιδος, μετὰ τὴν Θασσίλωνος πτῶσιν, μετὰ τὴν Ἐλπιδίου ἀπόστασιν, ὅτε τὸ μὲν φοβουμένη μὴ ὑποταγῇ ὀνόματι Ἐλπίδιος Καρόλῳ, τὸ δὲ σκοποῦσα καὶ ὑπὲρ τῆς Ὀρθοδοξίας ἐνεργῆσαι, βαθείας ἔχρῃζεν εἰρήνης. Οὐκοῦν μετὰ τὴν 8. Σεπτεμβρ. 781, τουτέστι τῷ ϛ'. ἔτει τῆς βασιλείας αὐτῆς, ἐν ᾧ διαρρήδην ὑπὸ τῶν Ἑλλήνων Χρονογράφων λέγεται συμβεβηκέναι τὴν μνηστείαν. Ἀμέσως δὲ μετὰ τὴν πρὸς Κάρολον πρεσβείαν τίθησι Θεοφάνης τὴν ἐπ' Ἐλπίδιον στρατείαν, ἣ τῷ ἔαρι γέγονε τοῦ 782, γνωστοῦ τυγχάνοντος ὅτι, "τοῦ λαοῦ τῶν Ῥωμαίων ἀσχολουμένου ἐν τούτοις", κατ' Ἐλπιδίου δηλονότι, ἀφίκοντο μέχρι Χρυσοπόλεως οἱ Ἄραβες, ὡς ὀψόμεθα· ἄλλοθεν δὲ δείκνυται ὅτι ἡ Ἀράβων ἐπιδρομὴ τῷ θέρει τοῦ 782 ἐγένετο[83].

§ 41. Κατὰ δὴ ταῦτα, βεβαίου ὄντος ὅτι τῷ ϛ'. ἔτει αὐτῆς ἐπρεσβεύσατο Εἰρήνη πρὸς Κάρολον, ἀβέβαιον μένει ποίῳ μηνί. Τὰ πρὸς τοῦτο ἐλατήρια μέντοι αὐτῆς, ἰδίᾳ δ' ἡ Θασσίλωνος ὑποταγὴ[84], οὐκ ἐπιτρέπουσι τὴν ἀποστολὴν πρὸ τοῦ Ὀκτωβρίου μεσοῦντος, ὅτε οὐκ ἦν Κάρολος ἐν Ῥώμῃ, ὡς τὰ Ann. Laureshamenses, ὁ δὲ πάπας εἰς οὐδὲν συντελέσας, ἠγνόει πολλῷ μᾶλλον τὸ γεγονὸς μέχρι τοῦ 785 φθίνοντος, ὡς ἐν τῷ δ'. κεφαλαίῳ ὀψόμεθα. Συνῳδὰ οὖν τούτοις οἱ Αὐτοκρατορικοὶ πρέσβεις συνήντησαν Καρόλῳ ἐν Φραγκίᾳ, ἐν Ἐρισταλλίῳ ἢ Καρισιακῶ, καὶ ἀνήγγειλαν τὴν Εἰρήνης βουλήν. Καὶ ὁπόσον μὲν ἦσθη Κάρολος ἐπὶ τούτῳ, περιττὸν ὅλως εἰπεῖν· καθεώρα δὲ καὶ τοὺς καρποὺς τῆς πρὸ ὀκτώ, ὡς ἔγγιστα, μηνῶν σοφωτάτης

83 Τῷ 165 τῆς Ἐγίρας (Weil, II. 100) ἀρχομένῳ τῇ 26. Αὐγούστ. 781 καὶ φθίνοντι τῇ 15. Αὐγ. 782. Γνωστοῦ δ' ὄντος ἐκ τῆς Ἀράβων Ἱστορίας (ὅρα καὶ Weil, II, 156) ὅτι θέρει πάντοτε ἐστρατεύοντο Ἄραβες ἐπὶ Ῥωμαίους, διὰ τὸ ὑπερβάλλον δηλονότι ψῦχος ἐν μικρᾷ Ἀσίᾳ, ἀδύνατον ὑπολαβεῖν ὅτι μετὰ τὴν 26. Αὐγ. 781 ἐστράτευσε νῦν Ἀαρὼν (κατωτ. § 45)· ἀναμφίβολον δ' ὅτι μετὰ τὸν Μάϊον τοῦ 782. — 84 Καὶ εἰ μεσοῦντι Αὐγούστῳ ὑπετάγη Θασσίλων, οὐκ ἂν ἐγνώσθη τοῦτο ἐν Βυζαντίῳ πρὸ τοῦ παρελθεῖν τοὐλάχιστον τεσσαρακονθήμερον.

αὐτοῦ ἐν Ἰταλίᾳ πολιτείας. Ἀδυνάτως γὰρ εἶχε μὴ ἐνιδεῖν ἐν τῇ Πιπίνου χρίσει καὶ ἐγκαθιδρύσει εἰς βασιλέα Λογγοβαρδίας, ὡς κἂν τῇ Θασσίλωνος ὑποτάξει, τὴν ἐν τῇ Βυζαντινῇ πολιτείᾳ μεταβολήν. Καθορῶν δ' ἀναμφιβόλως ὅτι, πρὸς τῇ ἐξόχῳ τιμῇ, τῇ προσγινομένῃ αὐτῷ ἐκ τοῦ ἐκδοῦναι τὴν θυγατέρα τῷ Ῥωμαίων Αὐτοκράτορι εἰς γάμον, διαρκῶς ἂν ἐκαρποῦτο τὸ προϊὸν τῆς ἐν Ἰταλίᾳ πολιτείας — οὐ γὰρ ἂν ὑπεστήριζε πάντως τοῦ λοιποῦ Εἰρήνη τὸν παρ' ἑαυτῇ Ἄδαλγιν κατὰ τοῦ πατρὸς καὶ ἀδελφοῦ Ἐρυθροῦς· ἐντεῦθεν δ' ὁ Βενεβεντοῦ Ἄριχις, ἀβοήθητος μένων, οὐκ ἂν παρεῖχε Φράγκοις πράγματα καὶ ἐγίνετο εὐχειρωτότερος· τοῦ δὲ πάπα μὴ ἀνευρίσκοντος ἐν τῇ τούτου πολιτείᾳ αἰτια κλαυθμῶν καὶ ὀδυρμῶν καὶ μὴ αἰωνίως τὸν Καρόλου ἔλεον ἐκλιπαροῦντος, ἀνέσεως ἂν ἐτύγχανεν οὗτος, ὅπως πλεῖον τοῖς Σάξοσιν ἐπιστήσῃ τὸν νοῦν — ταῦτα οὖν πάντα καθορῶν Κάρολος, εὐαγγελισθεὶς δὲ καὶ περὶ τῆς τῶν Αὐτοκρατόρων πίστεως, ὅτι οὐκ ἦν ἡ ὑπὸ τῶν Φράγκων ἐπισκόπων τῷ 769 ἐν Λατεράνῳ κατακριθεῖσα[85], ἀλλ' ἡ ὀρθόδοξος τῆς μιᾶς Ἐκκλησίας, ἀπεδέξατο τὴν Εἰρήνης αἴτησιν καὶ ἐμνήστευσεν Ἐρυθρῷ τῷ Αὐτοκράτορι. Διαρρήδην δὲ προσεπιλέγεται γεγονέναι αὐτόθι καὶ "ἔνορκον συμφωνίαν", τοὐτέστι τυπικὴν συμμαχίαν τῶν μοναρχῶν Εἰρήνης καὶ Καρόλου, καὶ ὅτι ἐκείνη κατέλιπεν ἐν τῇ τούτου αὐλῇ τὸν Νοτάριον Ἐλισσαῖον, ὅπως διδάξῃ τὴν μέλλουσαν αὐτοκράτειραν[86].

§ 42. Τίνες δὲ καὶ οἷοι ἂν ἦσαν οἱ ὅροι τῆς ἐνόρκου τῶν δύο Ἐπικρατειῶν συμφωνίας; Ἄλλως εἰπεῖν, παρεκτὸς τῶν τῇ συνδιαλλαγῇ καὶ τῇ συγγενείᾳ συνυπονοουμένων: τοῦ μὴ βοηθῆσαι Κάρολον Ἐλπιδίῳ, εἰ προσέφευγεν αὐτῷ· μὴ προστατεῖν δ' Εἰρήνην τῶν Ἀδάλγιδος ἐπὶ Λογγοβαρδίας ἀξιώσεων καὶ δικαίων, πῶς ἂν ἆράγε ἐξωμαλίσθη τὰ ἐν Ἰταλίᾳ, οἷς πρώτιστα καὶ μάλιστα ἀποδοτέα ἡ περὶ μνηστείας τῆς βασιλίσσης πρότασις; Καὶ αἱ Δυτικαὶ πηγαὶ παντάπασι σιγῶσι περὶ τούτου. Εἰ δ' ἔξεστί τινι μαντεῦσαι τοὺς ὅρους, τοῦτο δύναται γενέσθαι ἐπὶ τῇ βάσει τῶν μετὰ τὴν μνηστείαν αὐτόθι συμβάντων.

---

85 Ἴδ. Hefele, III. 434. Abel, Jahrb. 51—53. καὶ ἀνωτ. § 14. σημ. 208. — 86 Θεοφ. 705: "Καὶ γενομένης συμφωνίας καὶ ὅρκων ἀναμεταξὺ ἀλλήλων, κατέλιπον Ἐλισσαῖον τὸν εὐνοῦχον καὶ νοτάριον πρὸς τὸ διδάξαι αὐτὴν..." Ἴδ. κατωτ.

Ὅμως μέντοι οὐδὲν ὅλως συνέβη, καὶ συνεφωνήθη ἄρα ἀφεῖναι τὰ πράγματα ἐν Ἰταλίᾳ ὡς εἶχον: ὁ τετραετὴς δηλονότι Καρολίδης Πιπῖνος ἀνεγνωρίσθη ὑπὸ Εἰρήνης ῥήξ Λογγοβαρδίας· Ἰστρία, Βενετία καὶ τὸ Ῥώμης δουκάτον Ἑλληνικαὶ ἐπαρχίαι· παρομοίως δὲ καὶ ἡ Ἐξαρχίᾳ σὺν τῇ Πενταπόλει ὡς ἑνὶ τῶν πατριαρχῶν τῆς Ῥωμαίων Αὐτοκρατορίας, τῷ πάπᾳ, δεδωρημέναι· πρὸς δέ, ὁ Βενεβεντοῦ Ἀριχις κυριάρχης τοῦ ἀχανοῦς αὐτοῦ δουκάτου, μηδενὶ ὑποκείμενος[87]. Ἐπιρρώννυται δ' ἡ εἰκασία αὕτη ἐκ τοῦ ὅτι, ἅμα ὡς ἐπ' ἐλάχιστον μετεβλήθη ἡ ἐκτεθεῖσα κατάστασις, ἅμα ὡς δηλαδὴ Κάρολος ἐχθρικῶς πρὸς Βενεβεντὸν διετέθη, αὐθωρεὶ ἐλύθη ἡ συμμαχια, μικρὸν δ' ὕστερον καὶ ἡ μνηστεία, ὡς ἐν τῷ πέμπτῳ κεφαλαίῳ ὀψόμεθα. Ῥητέον δ' ἐνταῦθα ὅτι, παρεκτὸς τῆς "συμφωνίας", ἐπωφελοῦς ἐπί τι χρόνου ἀποδειχθείσης Ἕλλησί τε καὶ Φράγκοις, ἡ μνηστεία ἔσχε συνεπείας μὴ πολιτικάς, ἃς οὐκ ἂν ἁμάρτοι τις ὡς ἐπωφελεστάτας χαρακτηρίσαι, καὶ δὴ καὶ διαρκεστάτας, μέχρι νῦν ὑφισταμένας καὶ ἀναγνωριζομένας. Αὗται δ' εἰσιν αἱ ἐπὶ μᾶλλον καὶ μᾶλλον Εἰρήνην καὶ Κάρολον καὶ ἐν ἑτέρῳ ἢ τὸ πολιτικὸν καὶ πολεμικὸν πεδίον δοξάσασαι. Οἵαι δέ; Εἰρήνη μέν, τῇ ἐκ τῆς μνηστείας ἀρωγῇ καὶ εἰρήνῃ πεποιθυῖα, γοργοτέρῳ καὶ στερεωτέρῳ ποδὶ προέβη τὴν Ὀρθοδοξίαν διὰ τῆς Ζ'. Συνόδου ἀποκαταστῆσαι, ὡς ἐν τῷ δ'. κεφαλαίῳ ὀψόμεθα· Κάρολος δέ, ἐκ τῆς παιδεύσεως τῆς Ἐρυθροῦς ἀφορμηθείς, καὶ αὐτὸς ἐπαιδεύθη, καὶ εἰς τὴν Φραγκίαν εἰσήγαγε τὰ γράμματα. Ἐκ τούτων δέ, ἐκείνη μὲν ἕως τοῦ νῦν μακαρίζεται, οὗτος δὲ δικαίως τιμᾶται.

§ 43. Συντελεσθείσης γὰρ τῆς μνηστείας, ἔμεινε παρ' Ἐρυθροῖ, ὡς ἄρτι ἐρρήθη, ὁ γραμματεὺς Ἐλισσαῖος "πρὸς τὸ διδάξαι αὐτὴν τά τε τῶν Γραικῶν γράμματα καὶ τὴν γλῶσσαν, καὶ παιδεῦσαι αὐτὴν τὰ ἤθη τῆς Ῥωμαίων βασιλείας." Τὸ ὅτι δ' ὑπὸ τῆς Ἀτθίδος ὥριστο ἐν ξένῃ αὐλῇ πρὸς τὸ μορφῶσαι καὶ διδάξαι τὴν μέλλουσαν Αὐτοκράτειραν, ἡλίου φαεινότερον καταδείκνυσιν αὐτὸν ἄνδρα γεγονέναι ἐξόχου παιδείας καὶ ἱκανότητος, ἐκ τῶν Ἀθήνησιν ἢ πιθανώτερον ἐν Βυζαντίῳ παιδευθέντων, κρύφα δήπου καὶ ἐν παραβύστῳ διὰ τὸ ὀρθοδοξεῖν αὐτόν, καὶ οὐκ ἦν μόνος ἐν τοῖς

87 Πρβλ. Abel, Jahrb. 455, Venediger, 29 ..., Strauss 18 ..., καὶ Harnack 15 καὶ ἑφεξῆς.

λαϊκοῖς κατὰ τὸν σκοτεινὸν αἰῶνα τῶν Εἰκονομάχων. Ἐφαμίλλους γὰρ ἔσχεν ἐν τοῖς ὑπουργοῖς τῆς Ἀθηναίας τὸν πολὺν Ταράσιον καὶ Νικηφόρον τὸν πάνυ, ἀμφοτέρους ἀλληλοδιαδόχως Οἰκουμενικοὺς πατριάρχας ἀναδειχθέντας. Εἰ δ' ἀρέσκει τινί, μὴ περιορίσαι τῇ φύσει καὶ τῇ ἀγωγῇ τοῦ Λιουτπράνδου τὸν ἐν τῇ πρεσβείᾳ αὐτοῦ πρὸς Νικηφόρον τὸν Φώκαν[88] ἐκτυλισσόμενον τρόπον τοῦ λαλεῖν καὶ καυχᾶσθαι, ἀλλὰ τοὐναντίον ἐκλαβεῖν τὸν κόμπον ἴδιον τοῖς πρεσβευταῖς τοῦ καιροῦ ἐκείνου, τῷ τοιούτῳ ἔξεστι φρονεῖν, ὅτι καὶ ὁ ἡμέτερος Ἐλισσαῖος λόγου δυνάμει καὶ κόμπῳ παρέστησε τὰ τῆς παιδείας καθόλου ἐν τῇ Ἑλληνικῇ Αὐτοκρατορίᾳ καί, ὅπως ἐπὶ πλεῖον ἐξάρῃ τὴν Ἀθῆδα, ζωηρότατα ἀντιπαρέβαλε τὴν ἀπὸ τῆς ἀναρρήσεως αὐτῆς ἀναβίωσιν τῶν γραμμάτων πρὸς τὴν ζοφώδη Εἰκονομαχίαν. Περιέγραψε τὴν Οἰκουμενικὴν Σχολήν, τὴν αὐτόθι Βιβλιοθήκην, τοὺς τρεισκαίδεκα Οἰκουμενικοὺς διδασκάλους καὶ συμβούλους τῶν Αὐτοκρατόρων, τὰς Μονάς, ὅτι ἦσαν ἐν Ἑῴᾳ Ἀκαδημίαι τῶν ἐπιστημῶν, ὅτι οἱ Αὐτοκράτορες καὶ ἐθεολόγουν, καὶ Συνόδων ἐσθ' ὅτε προήδρευον, καὶ ὅτι πάντα ταῦτα τέλεον ἐκλιπόντα ἐπὶ εἰκονομάχων, ἤρξαντο ἀναβιοῦντα νῦν, Εἰρήνης πάντα λίθον κινούσης πρὸς ἀνεύρεσιν τῶν ἐν ταῖς ὀπαῖς τῆς γῆς κεκρυμμένων λογίων καὶ προαγωγὴν αὐτῶν εἰς Μητροπολιτῶν καὶ Ἀρχιμανδριτῶν ἕδρας. Περιττὸν δ' εἰπεῖν ὁπόσον ἐθλίβετο Κάρολος, τὰ σφέτερα πρὸς τὰ Ἑλλήνων συγκρίνων. Εἰ δὲ καὶ ἀπορεῖ τις περὶ τοῦ ὡς εἶχον τὰ τῆς παιδείας παρὰ Φράγκοις, οὐκ ἂν εὕροι τῆς ὅλης καταστάσεως καταλληλότερον καὶ φωνὴν ἀφιέν ἔμβλημα αὐτοῦ τοῦ ῥήγὸς Καρόλου[89]. Πῶς δ' ἂν ἄρά γε διετέθη, τὰ ἐκ τῆς εἰκονομάχου ἀπαιδευσίας προελθόντα Ἐκκλησίᾳ τε καὶ Πολιτείᾳ ὀλέθρια καθορῶν; Οὐκοῦν ἐπάναγκες ἔδοξεν αὐτῷ, ἵνα σὺν Ἐρυθροῖ, "διδασκομένη τὰ τῶν Γραικῶν γράμματα, καὶ τὴν γλῶσσαν, καὶ παιδευομένη τὰ ἤθη τῆς Ῥωμαίων βασιλείας" ὑπὸ Ἐλισσαίου, παιδευθῇ καὶ αὐτός, καὶ τὰ τέκνα αὐτοῦ, καὶ ὁ κλῆρος αὐτοῦ, καὶ ὁ λαὸς καθόλου αὐτοῦ. Νῦν δ' ἀκριβῶς ἐκλήθη παρ' αὐτῷ ὁ Ἀλκουΐνος, Πέτρος ὁ ἐκ Πίσης, Παῦλος ὁ Διά-

---

88 Liutprandi Legatio ad Nicephorum Phocam. Ἱκανὸν μέρος ταύτης εὕρηται ἐν Ζαμπελίου Βυζαντ. Μελέταις. — 89 Περὶ τῆς Καρόλου ἀπαιδευσίας ἴδε Lorentz, Alcuins Leben 16 ... 20—22.

κονος καὶ ἄλλοι, καὶ ἐγένετο οὕτω τὸ Φραγκικὸν βασίλειον πιστὸν τῆς Ἑλληνικῆς Αὐτοκρατορίας ἀντίτυπον[90].

§ 44. Τούτων δὲ γινομένων ἐν Καρισιακῷ, ἐστράτευσεν Εἰρήνη ἐπὶ Σικελίαν. Σκόπει δέ μοι τὸ εὔβουλον τῆς Ἀθηναίας κἀν τούτῳ. Ναὶ μὲν Ἐλπίδιος ἦν ἡ πρωτίστη τοῦ προσπελάσαι αὐτὴν Καρόλῳ ἀφορμή[91], καὶ ἴσως ὑπελάμβανέ τις ἐκ τοῦ παραυτίκα, ὅτι βοηθὸν αὐτὸν ἐπικαλέσασθαι ἐσκόπει ὡς σύμμαχον καὶ συγγενῆ κατὰ τοῦ ἐπιβούλου τῶν ἰδίων τέκνων· ἀλλ' οὐ καθ' ὑπόληψιν τὸ πρᾶγμα· Εἰρήνη γὰρ οὐκ ἦν Ῥινότμητος, ὃς τῇ Βουλγάρων συναντιλήψει κατέβαλε τοὺς ἅρπαγας τοῦ θρόνου αὐτοῦ καὶ ἠνέῳξεν αὐτοῖς ὁδὸν εἰς Βυζάντιον[92]· ἀλλὰ μὴν οὐδὲ Κοπρώνυμος, ὅς, ὅπως τοῦ ὀρθοδόξου Ἀρταβάσδου ἐπικρατήσῃ, τοῖς Ἄραψιν ἐπειράθη συμμαχῆσαι[93]. Εἰρήνη ναὶ μὲν πολλὰ ἐβούλετο ἐκ τῆς Καρόλου φιλίας καρπώσασθαι, οὐ μέντοι ἔνοπλον εἰσαγαγεῖν αὐτὸν εἰς τὴν ἐπικράτειαν, πρὶν ἢ δὴ βασανίσῃ τὴν αὐτοῦ εἰλικρίνειαν, εἴγε ἐν τῷ στρατεύεσθαι εἶχε μαθοῦσα, ὅτι συνετετέλεστο ἡ μνηστεία, ὅπερ λίαν ἀμφίβολον[94]. Ὅπωσδήποτε,

---

90 Τὰ Καρόλεια Χρονικὰ καὶ τὰ ἐκ τούτων ἀντλοῦντα οὐδὲ μνημονεύουσιν Ἐλισσαίου. Ἐδήλωσε δὲ Harnack 100. τὸ αἴτιον. Παράδοξον δὲ καὶ λίαν θλιβερόν, ὅτι οἱ τῶν Γερμανικῶν γραμμάτων Ἱστορίαν γράφοντες, καὶ τὸν Κάρολον ἰδιαζόντως ὡς πρῶτον φωστῆρα ἐξυμνοῦντες, οὐ μνημονεύουσι ποσῶς τοῦ ἡμετέρου Ἐλισσαίου καὶ οὐκ εὐγνωμονοῦσιν αὐτῷ ὡς κυρίῳ τῶν Φράγκων φωτιστῇ. — 91 Οὐδεὶς τῶν ὧν πολλάκις ἐμνήσθημεν Ἱστορικῶν ἀρνεῖται τοῦτο. Νομίζω ὅμως, ὅτι ὁ πολὺς Leibniz, Annales Imperii I. 101. λίαν ἀδικεῖ Εἰρήνην, μὴ διορῶν ἕτερόν τι ἐν τῇ πολιτείᾳ αὐτῆς, εἰ μὴ "τέχνασμα" πρὸς τὸ ἀναχαιτίσαι Κάρολον ἀπὸ τοῦ βοηθῆσαι Ἐλπιδίῳ. Ὁμοίως δὲ καὶ Strauss 18 χαρακτηρίζων τὴν μνηστείαν ein blosses Manöver Εἰρήνης um den Frankenkönig vorläufig von den griechischen Besitzungen fernzuhalten. — 92 Θεοφ. 572... — 93 Ἀνωτ. § 9. σημ. 96. — 94 Ἐκ τοῦ Θεοφ. 705 δῆλον γίγνεται, ὅτι μεταξὺ τῆς πρὸς Κάρολον πρεσβείας καὶ τῆς κατ' Ἐλπιδίου ἐκστρατείας οὐ μακρὸς ἐμεσολάβησε χρόνος· αἱ δύο γὰρ πράξεις τῆς Εἰρήνης φαίνονται οἱονεὶ ἀλληλένδετοι ἐν τῷ νῷ αὐτοῦ· λέγει γάρ: "ἀπέστειλεν Εἰρήνη ... πρὸς Κάρουλον ... ἐξοπλίσασα δὲ στόλον ... ἀπέλυσεν ἐν Σικελίᾳ." Φρονῶ ὅμως ὅτι Strauss 17 ... πέραν βαίνει τοῦ δέοντος, ταὐτοχρόνους τὰς δύο ἐνεργείας θεωρῶν, καὶ μέγα σφάλλεται Ἀπριλίῳ τοῦ 781 ταύτας τιθέμενος, παρὰ τὴν τῶν Χρονογράφων σαφή-

ἅμα τῷ ἔαρι δήπου τοῦ 782, "ἐξοπλίσασα στόλον πολὺν καὶ λαὸν ἐπίλεκτον ἐκ τῶν θεμάτων καὶ ἄρχοντας ἱκανούς, προεβάλετο Θεόδωρον Πατρίκιον καὶ εὐνοῦχον, ἄνδρα δραστήριον, καὶ ἀπέλυσεν ἐν Σικελίᾳ κατὰ τοῦ Ἐλπιδίου"[95]. Ποῦ δὲ τῆς Σικελικῆς ἐπικρατείας διέτριβεν οὗτος νῦν, οὐ φαίνεται· εἰ δηλονότι ἦν ἐν τῇ ἕδρᾳ αὐτοῦ Καιάτῃ παρὰ τῇ Νεαπόλει, ἢ ἐν Καλαβρίᾳ, ἤ που τῆς νήσου αὐτῆς τῶν Σικελῶν. Πιθανὸν ὅμως ὅτι ὠχύρωτο ἐπὶ τῆς νήσου καὶ διὰ τὸ μὴ πεποιθέναι τῷ γειτνιάζοντι Καιάτῃ, Νεαπόλει καὶ Καλαβρίᾳ Ἀρίχιδι τοῦ Βενεβεντοῦ, ὅς ἀποδιδοὺς ἀναμφιβόλως τῇ ἀποστάσει αὐτοῦ τὴν τροπὴν ἐν τῇ Εἰρήνης πολιτείᾳ εὐλόγως ἂν ἐμίσει αὐτόν, καὶ διὰ τὸ κρειττόνως δύνασθαι ἐπὶ τῆς νήσου ἀσφαλισθῆναι. Διὸ δὴ καὶ οὐχ ὑπετάγη ῥᾳδίως. Πλὴν γὰρ τῆς τῇ "ἐξοπλίσει στόλου πολλοῦ μετὰ ἐπιλέκτου στρατοῦ καὶ ἱκανῶν στρατηγῶν" πρὸς τῷ Θεοδώρῳ συνυπονοουμένης δυσμάχου τοῦ Ἐλπιδίου δυνάμεως, ἱστοροῦνται καὶ πολλαὶ μάχαι γενόμεναι· καίπερ δὲ νικηφόρων[96], οὔτ' ἔπεσεν Ἐλπίδιος, οὔτε συνελήφθη, ἀλλ' ἀπογνοὺς τῆς σωτηρίας, ἔκλεψε τοὺς δημοσίους θησαυροὺς καὶ σὺν Νικηφόρῳ τῷ δουκί[97] ποῖ κατέφυγε; Καρόλου ἀπροσίτου αὐτῷ γενομένου τῇ Εἰρήνης προνοίᾳ, Ἀρίχιδος δὲ μυσαττομένου αὐτόν, ὡς εἴρηται, "ἐπέρασεν εἰς Ἀφρικὴν καὶ λαβὼν λόγον ἀπαθείας, προσερρύη τοῖς Ἄραψιν, ὃν δεξάμενοι ὡς βασιλέα Ῥωμαίων κατεῖχον, στέψαντες αὐτὸν εἰς μάτην καὶ περιθέντες τζαγγίον καὶ στέφανον"[98]. Ἡ ἀπόστασις δ' αὕτη καθόλου, εἰ καὶ ἐνίκησεν Εἰρήνη, ὀλεθρία ἀπέβη τῇ Αὐτοκρατορίᾳ, οὐ μόνον διὰ τὸ ὀθηγεῖν μετέπειτα τὸν βασιλέα Ῥωμαίων Ἐλπίδιον τὰς Ἀράβων στρατιὰς πρὸς ἐκπόρθησιν τῆς βασιλίδος τῶν πόλεων[99], ἀλλὰ διὰ τὸ ἀπασχολῆσαι νῦν

νειαν. Φοβουμένη Εἰρήνη, μὴ Καρόλῳ καταφύγῃ πολεμούμενος Ἐλπίδιος, ἐπολέμησε πρὸς αὐτὸν ἐν τῷ διατρίβειν τὴν πρεσβείαν αὐτῆς ἐν Καρισιακῷ. Ὅθεν ὅλως ἀμφίβολον, εἰ εἶχε πρὸ τοῦ ἐκστρατεῦσαι μαθοῦσα τὴν τῆς μνηστείας τέλεσιν. — 95 Θεοφ. 705. — 96 Αὐτόθι: "πολλῶν δὲ πολέμων γεγονότων, ἀπενίκησαν οἱ περὶ Θεόδωρον." — 97 Οὐκ ἀπίθανον ὅτι ὁ Νικηφόρος Νεαπόλεως ἦν δοὺξ, καὶ ἀμφιβάλλω εἰ ὀρθῶς ἔχει ἐν τῇ Λατινικῇ τοῦ Θεοφάνους μεταφράσει Nicephorum *Ducam*, ὡσεὶ ἐπίθετον ἀντὶ *ducem*. — 98 Θεοφ. 705. ἔκδ. de Boor 455. — 99 Περὶ τῶν Ἐλπιδίου ἄθλων ἐν τῷ Θ' κεφαλαίῳ γενήσεται λόγος.

τὴν βασίλισσαν καὶ τὰς χερσαίας τε καὶ θαλασσίας αὐτῆς δυνάμεις καὶ βλάψαι οὕτω τὸ Ῥωμαϊκὸν οὐ σμικρόν, ὡς αὐτίκα ὀψόμεθα.

§ 45. Ὁ φόβος τῆς Αὐτοκρατείρας μὴ ἐπέλθωσιν ἐκ νέου οἱ Ἄραβες, ὅς συνετέλεσέ πως εἰς τὸ συνδιαλλαγῆναι αὐτὴν Καρόλῳ[100], οὐκ ἦν κενός· ὁ σκοπὸς ὅμως αὐτῆς τοῦ ἐπισεῖσαι τοῖς πολεμίοις ὡς φόβητρον τὴν μετ' αὐτοῦ — λίαν παρ' αὐτοῖς φημιζομένου — συμμαχίαν οὐδόλως ὠφέλει νῦν, τῶν Ἀράβων ἐπιδραμόντων πρὶν ἢ γνωσθῇ αὐτοῖς τοῦτο, εὐτυχῶς δὲ καὶ ἡ Ἐλπιδίου εἰς Ἀφρικὴν φυγή. Ἡ ἐπιδρομὴ δ' αὕτη ἦν ἔξοχος ἐν ταῖς κατὰ Ῥωμαίων. Ἑκατὸν χιλιάδες μαχίμου στρατοῦ διέδραμον ἐν ἀκαρεῖ τὴν Μικρὰν Ἀσίαν ὑπὸ Ἀαρών, Βούνουσον καὶ Βουρνιχὲ τοὺς στρατηγοὺς καὶ εἰς τρία διαιρεθέντες, 40 μὲν χιλ. γοργῷ τῷ βήματι ἔσπευσαν μέχρι Χρυσοπόλεως Ἀαρὼν ἡγουμένου· 30 δὲ ὑπὸ Βούνουσον ἐπολιόρκησαν τὴν ἐν Φρυγίᾳ Νακώλειαν, ὡς ὀπισθοφυλακὴ Ἀαρών· αἱ δὲ λοιπαὶ 30 ἐπέπεσον ὑπὸ τὸν Βουρνιχὲ Λαχανοδράκοντι, 30 ἐπ' ἴσης χιλιάδων Ῥωμαίων ἡγουμένῳ καὶ "πολέμου κροτηθέντος ἐν τόπῳ λεγομένῳ Δαρηνῷ, 15 χιλ. αὐτῶν ἀπέκτειναν"[101]. Γινομένων δὲ τούτων ἐν τῷ πολεμεῖν τὸν Ῥωμαϊκὸν στόλον καὶ τὸν ἐπίλεκτον στρατὸν πρὸς Ἐλπίδιον[102], εὐνόητόν ἐστιν ὡς ἠμηχάνει Εἰρήνη. Ἡ δεινὴ δ' ἧττα τοῦ ἱκανωτάτου ἐν πολέμῳ Λαχανοδράκοντος, ἡ πολιορκία τῆς Νακωλείας καὶ πρό γε πάντων ἡ πρὸ τοῦ Βυζαντίου στρατοπέδευσις τοῦ υἱοῦ τοῦ ἀνωτάτου τῶν Ἀράβων ἄρχοντος ἠδύναντο πάντως δήπου καὶ τὸν τολμηρότατον τῶν Αὐτοκρατόρων ἀπελπίσαι, τοῦ δὴ Κερατίου κόλπου κενοῦ ὄντος νηῶν. Εἰρήνη μέντοι οὐκ ἀπεθειλίασεν οἷα γυνή. Ἐπὶ

---

100 Ranke ἐν Weltgesch. V. 2. 91. ὀρθότατα παρενείρει τὰς Ἀραβικὰς ἐπιδρομὰς ἐν τοῖς Εἰρήνης ἐλατηρίοις πρὸς τὸ συμμαχῆσαι Καρόλῳ. Οὐκ ὀρθῶς μέντοι ἀντὶ φόβου μόνου, ὡς τὰ πράγματ' ἀπαιτεῖ, θέλει αὐτὴν τὴν Ἀαρὼν μέχρι Χρυσοπόλεως ἐπιδρομὴν ὡς ἐλατήριον, ἥτις κατ' ἐμὴν μὲν γνώμην ὀκτὼ μῆνας μετὰ τὴν μνηστείαν ἐγένετο· κατὰ δὲ Abel κ. λ. π. τιθεμένους τὴν μνηστείαν ἐν Ῥώμῃ Ἀπριλ.—Μαΐῳ 781, τεσσαρασκαίδεκα. — 101 Θεοφ. 705—6. Weil, II. 100. Οἱ Στρατηγοὶ Ἀαρών= Harun-al-Raschid ὁ μετέπειτα μέγας Καλίφης· Βούνουσος = Rabia-ibn-Junus· Βουρνιχὲ δ' ἄδηλον· ἴσως Barnake. — 102 Θεοφ. 705: "Τοῦ δὲ λαοῦ τῶν Ῥωμαίων ἀσχολουμένου ἐν τούτοις — κατ' Ἐλπιδίου — ἐξέρχεται Ἀαρὼν υἱὸς Μαδί ..."

Χαζάρου αἱ στρατιαὶ μέγα ηὐξήθησαν[103] καὶ ὑπῆρχον ἔτι δυνάμεις ἐν ταῖς χερσὶν αὐτῆς. Τί οὖν; Ἐβουλεύσατο διχάσαι δι' αὐτῶν τὴν Ἀράβων δύναμιν διὰ τῆς καταλήψεως τῆς ἀπὸ Ἀστάκου ἕως Νικαίας δημοσίας ὁδοῦ, οὕτως ὥστε οὔτε Ἀαρὼν ὀπισθοχωρῆσαι δύνασθαι, οὔτε Βούνουσον ἐκ Νακωλείας σπεῦσαι τούτῳ ἐν ἀνάγκῃ βοηθήσοντα[104]. Ἐσκόπει δ' Εἰρήνη πάντως διὰ τούτου ἤτοι ἀφοβώτερον ἀναμεῖναι τὴν ἐκ Σικελίας ἐπάνοδον τῶν νικηφόρων δυνάμεων αὐτῆς, ἢ διὰ τῶν ἐν Βυζαντίῳ ἐπιπεσεῖν τῷ ἀποκεκλεισμένῳ ἤδη Ἀαρών. Ἐκ τῶν Ἀραβικῶν δὲ Χρονικῶν ἐπιρρώννυται τὸ δεύτερον. Ἀαρὼν τοίνυν μὴ εἰδότος ὅτι κατήλπτο ἡ ἐπὶ τῆς ἐν λόγῳ ὁδοῦ μικρὰ λίμνη Βανή, ἐπέταξεν Εἰρήνη τῷ Βουκελλαρίων στρατηγῷ Ταζατίῳ πολεμῆσαι αὐτὸν ἐν Χρυσοπόλει, ὅπως ὀπισθοχωρῶν, ὡς προσεδόκα ἄν τις, εὕρῃ τὴν δίοδον κατειλημμένην καὶ σύναμα τὸν ἴδιον ὅλεθρον ἑκατέρωθεν πολεμούμενος. Τί δὲ Ταζάτιος; Καθὼς Ἐλπιδιος, Ἰταλίας κινδυνευούσης, ἀπεστάλη πολεμήσων καὶ ἐπανέστη, αὐτὸς βασιλεῦσαι θέλων, οὕτω καὶ Ταζάτιος, τῆς ὅλης Αὐτοκρατορίας ἐπὶ ξυροῦ ἀκμῆς οὔσης, οὐκ ἐπολέμησεν ὡς ἐνετάλη, ἀλλὰ μισῶν τὸν πρωθυπουργόν, ὡς εἰπεῖν, τῆς βασιλίσσης Σταυράκιον, προσέφυγε τῷ Ἀαρὼν σὺν ὅλῳ τῷ Βουκελλαρίων θέματι καὶ ἀντὶ πολλοῦ ἐπώλησεν ἑαυτόν[105].

---

103 Ἰδ. ἀνωτ. § 23 σημ. 62. — 104 Θεοφ. 706: "ἡ δὲ βασίλισσα πέμψασα Ἀντώνιον τὸν Δομέστικον σὺν τοῖς τάγμασιν ἐκράτησε τὴν Βανὴν καὶ ἀπέκλεισεν αὐτούς." — 105 Θεοφ. 706: "Προσέφυγε δὲ αὐτοῖς Ταζάτιος ὁ τῶν Βουκελλαρίων στρατηγὸς μίσει τῷ πρὸς Σταυράκιον τὸν πατρίκιον καὶ Λογοθέτην τοῦ δρόμου, τὸν εὐνοῦχον, πρωτεύοντα πάντων τῶν τηνικαῦτα καὶ τὰ πάντα διοικοῦντα." Τὰ δὲ λοιπὰ ἐκ τῶν Ἀραβ. Χρονικῶν, Weil, II. 100. σημ. 2. Λίαν ἀπιθάνως ὅμως καὶ παραδόξως ἱστοροῦσιν Ἄραβες, ὅτι πολεμήσας Ταζάτιος πρὸς Ἀαρών, ἡττήθη δεινῶς καὶ προσφυγὼν εἶτα αὐτῷ σὺν τοῖς λειψάνοις τοῦ θέματος, ἐπωλήθη ἀντὶ 20 χιλ. χρυσῶν νομισμάτων καὶ 22 χιλ. δραμ. Χρυσοῦ, ἢ κατ' ἄλλον Χρονογρ. ἀντὶ 193 χιλ. χρυσῶν νομισμάτων καὶ 2,100,000 δραμ. χρυσοῦ. Ἀλλὰ πρὸς τί ἡ ποσότης αὕτη πρὸς ἀγορὰν ἠττημμένου; Οὔτ' ἐπολέμησεν, οὐδ' ἡττήθη Ταζάτιος· ὁ γὰρ Θεοφ. οὐκ ἄν ἀπεσιώπα τοῦτο· ἀλλ' ἤτοι αὐτὸς προσελθὼν τῷ Ἀαρὼν προὔτεινε πωληθῆναι (ὅπερ τάσσουσιν Ἄραβες μετὰ τὸ ἡττηθῆναι αὐτὸν) ἤ, πειραθέντος Ἀαρὼν δελεάσαι αὐτὸν χρυσίῳ, ἐπωλήθη ἀντὶ τοῦ πολεμῆσαι "μίσει τῷ πρὸς Σταυράκιον." Πρβλ. Schlosser 267 ..., ὃς σκοπίμως δια-

§ 46. Καὶ εἰ μὲν ἔστη ἐν τούτῳ ὁ προδότης, καλῶς ἂν εἶχε· συνετὴ γὰρ Εἰρήνης ἐνέργεια καὶ τυχαία τῶν ἐν Σικελίᾳ ἄφιξις ἀρίστας ἂν ἔσχε συνεπείας. Ἀλλ' οὐκ ἔστη μέχρι τούτου· προδότης δ' ἅπαξ γενόμενος, ἐπόθει καὶ ἀσφαλῶς χρῆσθαι τῷ τῆς προδοσίας τιμήματι. Διὸ δή, γνωρίσας τῷ Ἀαρὼν τὴν κατάληψιν τῆς λίμνης καὶ τὸ ἀκροσφαλὲς τῆς θέσεως αὐτῶν καταδείξας, συνεβούλευσεν αὐτῷ αἰτήσασθαι εἰρήνην[106]. Εἰρήνη δὲ μετὰ τῶν δεινοτάτων τῆς Αὐτοκρατορίας πολεμίων οὐκ ἦν, ὡς τὸ εἰκός, ἀπρόσδεκτος τῇ βασιλίσσῃ, πολλῷ δὲ μᾶλλον καὶ εὐκταία, ἀναλογιζομένῃ τὸ ὄφελος τῆς ἐπὶ Πωγωνάτου μακρᾶς εἰρήνης, ἣν ἀφρονέστατα εἶχε Ῥινότμητος λύσας[107]. Πρὸς δὲ τούτοις τὸ αἰτεῖν Ἄραβας εἰρήνην πρὸ τοῦ Βυζαντίου στρατοπεδεύοντας, καὶ μετὰ τὴν Τατζατίου προδοσίαν ἐξ ἑνός, τὴν δεινὴν δ' ἧττταν τοῦ Λαχανοδράκοντος ἐξ ἑτέρου, κατεδείκνυ ὅτι ἑώρων ἑαυτοὺς ἐν ἐπισφαλεῖ λίαν, ἡ δ' Ἀθηναία, ἀγαλλομένη ἐπὶ τῷ στρατηγήματι, καὶ πεποιθυῖα ὅτι οἱ τῆς εἰρήνης ὅροι ἐπωφελέστατοι ἔμελλον εἶναι τῇ αὐτοκρατορίᾳ (μὴ γὰρ ἐπὶ Πωγωνάτου, ἀναγκασθέντες Ἄραβες εἰρηνεῦσαι οὐκ ἐτέλουν ἐτησίως Ρωμαίοις;) ὅτι εἰρηνεύουσα, αἰωνίων ἀπηλλάσσετο ἐπιδρομῶν, ὅτι ἐβελτίου τὴν τύχην τῶν ὑπὸ Ἄραβας ὁμοφύλων, ὅτι ῥᾷον ἂν συνήργουν αὐτῇ πρὸς ἀποκατάστασιν τῆς Ὀρθοδοξίας οἱ τρεῖς τῆς Ἑῴας λήξεως πατριάρχαι, καὶ πρό γε πάντων ὅτι ἀντιστῆναι μακρότερον τοῖς ἐχθροῖς οὐκ ἠδύνατο ἄνευ στόλου τε καὶ στρατοῦ ἱκανοῦ, ἐν Σικελίᾳ ἀσχολουμένου, ἀπεδέξατο τὴν Ἀαρὼν αἴτησιν· ἀσμένως δὲ καὶ ὡς τάχιστα ἀπεδέξατο αὐτήν, εἰ ἀφίκετο ἐν τῷ μεταξὺ εἰς Βυζάντιον ἡ φήμη τῆς πρὸς Ἄραβας φυγῆς Ἐλπιδίου καὶ εἶχε τοῦτο μαθοῦσα. Οὕτως δὲ ἡ σπουδὴ ἐν τῷ ἐκπέμψαι πρὸς Ἀαρὼν τοὺς τὴν εἰρήνην ποιήσοντας ὑπουργούς, τοῦ Σταυρακίου ἡγουμένου, ἄνευ τοῦ ζητῆσαι παρ' ἐκείνου ὁμήρους πρὸς ἀσφάλειαν τούτων[108], πιθανὸν καθίστησιν, ὅτι εἶχε τὴν

στρέφει τὴν ἱστορικὴν ἀλήθειαν. — 106 Θεοφ. 706: "καὶ δοὺς αὐτοῖς βουλήν, ἠτήσαντο εἰρήνην" πρβλ. Ζωναρ. XV. 10: "Τοῦτο — τὴν κατάληψιν τῆς Βανῆς — μαθόντες οἱ Ἄραβες, σπείσασθαι Ῥωμαίοις ἠτήσαντο." — 107 Θεοφ. 543. 555. — 108 Θεοφ. 706: "Ἐξελθόντων δ'. ἐπὶ τοῦτο Σταυρακίου καὶ Πέτρου Μαγίστρου καὶ Ἀντωνίου δομεστίκου, οὐκ ἠκριβολογήσαντο λόγον λαβεῖν καὶ τέκνα τῶν πρωτευόντων."

φυγὴν μαθοῦσα. Δείσασα δέ, μὴ Ἐλπίδιος καὶ Μαδὶ συλλαλήσωσι καὶ συνεργήσωσιν ἐν τῷ στρατοπεδεύειν Ἀαρὼν ἐν Χρυσοπόλει, λίαν ἔσπευσεν, ὡς ὤφειλεν, εἰρηνεῦσαι. Ἀλλ' Ἀαρών, ἀποσταλεὶς ὑπὸ τοῦ πολλάκις ἡττηθέντος πατρὸς αὐτοῦ Μαδὶ "μετὰ δυνάμεως ὑπερβαλλούσης", ὅπως γυναικὸς κρατούσης Ῥωμαίων, καὶ δεύτερον πειράσηται ἀποσεῖσαι τὸ ἐκ τοσούτων καὶ τηλικούτων ἡττῶν ὄνειδος, καὶ ἀναγκασθεὶς παρ' ἐλπίδα εἰρηνεῦσαι (οὐκ ἐπονείδιστον μόνον, ἀλλὰ καὶ τὴν ἰδίαν ζωὴν ἐπαπειλοῦν, εἰ ἀνεμνήσθη ὅ, τι τῷ Κεβὴρ συνέβη[109]) ἀσμένως προσέσχε τῇ Τατζατίου φωνῇ καὶ ἐβολιεύσατο. Ἐκράτησε τοὺς πρέσβεις τῆς βασιλίσσης, ἐπέδησεν αὐτούς, ὅπως αὐτὸς τύχῃ τῶν ὑπὸ Εἰρήνης προσδοκωμένων. Ἡ δέ, ἀγαθότητι σφαλεῖσα, ἠναγκάσθη δέξασθαι τὰ ὑπὸ τοῦ ἐχθροῦ ἐπιβληθέντα καὶ ἐκ τῶν ἀνωτέρω λόγων ὠθουμένη, καὶ ὅπως ῥύσηται "τοὺς τῶν κοινῶν διοικητάς"[110]. Τίσι δὲ καὶ οἵοις ὑπήχθη ὅροις; α'. τριετεῖ εἰρήνῃ· β'. ἐτησίῳ κατὰ ταύτην φόρῳ 70 χιλιάδων δηναρίων· γ'. ἀπαγωγῇ τῶν αἰχμαλώτων· δ'. ἀσφαλεῖ ὁδηγίᾳ τῶν Ἀράβων διὰ τῶν στενῶν καὶ προμηθείᾳ καθ' ὁδὸν τροφίμων καὶ ε'. ἀποδόσει τῆς γυναικὸς καὶ τῆς οὐσίας τοῦ προδότου Τατζατίου. Ἐπέβαλε δὲ τῷ Ἀαρὼν α'. ἐλευθερῶσαι τοὺς πρέσβεις· β'. ἆραι τὴν πολιορκίαν τῆς Νακωλείας καὶ γ'. ἐπανακάμψαι εἰς τὰ ἴδια ἄνευ τοῦ κατακτῆσαι οὐδὲ σπιθαμὴν Ῥωμαϊκῆς γῆς[111].

---

109 Ἰδ. ἀνωτ. § 29. σημ. 17. — 110 Θεοφ. 706: "ἀλλὰ ἀσκόπως ἐξελθόντες, ἐκρατήθησαν ὑπ' αὐτῶν καὶ ἐπεδήθησαν καὶ ἐβιάσθησαν ἀμφότερα τὰ μέρη ποιῆσαι εἰρήνην." Ὅτι δὲ Τατζάτιος (μὴ Ἑλληνικὸν ὄνομα) ὁ τοῦ δόλου ὑποβολεὺς πιθανὸν καθίσταται ἐκ τοῦ ὅτι ἄλλως ἔσχατον διεκινδύνευε κινδύνευμα. Τὸ γὰρ μόνον εἰρήνην αἰτήσασθαι, ἀπήλλασσε μὲν Ἀαρὼν τοῦ ὀλέθρου, ἐμεγέθυνε δὲ τὸν Τατζατίου· ἀναμφιβόλως γὰρ Σταυράκιος τὴν τοῦ προδότου παράδοσιν ὡς ἕνα τῶν εἰρήνης ὅρων θεῖναι ἔμελλε. Πρὸς τί δὲ τότε ἡ προδοσία καὶ τὸ τίμημα αὐτῆς; Δολιευομένου δὲ τοὐναντίον Ἀαρών, Τατζάτιος καὶ Σταυράκιον ἐτιμώρει, καὶ ἑαυτὸν ἔσωζε, καὶ τῷ χρυσίῳ ἐχρῆτο, καὶ τὴν γυναῖκα μετὰ τῆς οὐσίας ὡς ὅρον τῆς εἰρήνης ἀπήτει, ὃ δὴ καὶ ἐποίησεν. Αὐτὸ δὲ τοῦτο ἠσφάλιζε καὶ Ἀαρὼν κατὰ τῆς ὀργῆς τοῦ γεννήτορος. — 111 Θεοφ. 705: "καὶ ἐδωρήσαντο ἀλλήλοις ἥ τε Αὐγούστα δὴ καὶ ὁ Ἀαρὼν ξένια πολλά, στοιχήσαντες καὶ κατὰ καιρὸν τελεῖν αὐτοῖς· καὶ γενομένης εἰρήνης, ἀνεχώρησαν ἀφέντες καὶ τὸ κάστρον Νακωλείας· ἐπῆρε δὲ καὶ ὁ Τατζάτης τὴν γυναῖκα ἑαυτοῦ καὶ πᾶσαν τὴν ὑπό-

§ 47. Ἦν δὲ τοῦτο γεγονὸς ὀλέθριον, καιρίως δήπου πλῆξαν Εἰρήνην, νῦν πρῶτον ἀπὸ τῆς εἰσόδου αὐτῆς εἰς Βυζάντιον ἁμαρτάνουσαν τοῦ σκοποῦ πρὸς βλάβην τῆς Πολιτείας. Τὸ ὅτι σοφῶς ἐπολιτεύσατο, τὸ ὅτι ἡ Ἐλπιδίου ἀπόστασις ἐποίησεν ὥστε μὴ ἔχειν αὐτὴν ἀρκούσας δυνάμεις ἐν Ἀνατολῇ, τὸ ὅτι τὸ στρατήγημα αὐτῆς ὑπὸ προδότου ἐμηδενίσθη, ἡ δὲ ἐπωφελὴς εἰρήνη ὑπὸ τοῦ δόλου, ὃν ὁ αὐτὸς τῷ Ἀαρὼν ὑπέβαλε, τὸ ὅτι δ' ἡ τῆς ὅλης Μικρᾶς Ἀσίας κατοχὴ πολλῷ προτιμοτέρα ἦν τοῦ ἐπὶ τριετίαν μέλλοντος δίδοσθαι χρυσίου, εἰρηνευούσης δὴ τελείως ἐν τούτοις τῆς Αὐτοκρατορίας — πάντα ταῦτα, οὕτως ἐλαφρύνοντα τὸ μοιραῖον γεγονός, οὐκ ἂν ἀνέπειθον τοὺς φιλοκαίνους καὶ δὴ καὶ Εἰκονομάχους μὴ ἀποδοῦναι τὴν ἄδοξον εἰρήνην τῇ δῆθεν ἀδεξίᾳ αὐτῆς πολιτείᾳ, καὶ μὴ παρεμβαλεῖν διὰ τοῦτο ἐμπόδια τῇ πορείᾳ αὐτῆς πρὸς ἀνόρθωσιν τῆς Πολιτείας καὶ τῆς Ἐκκλησίας. Ἐπάναγκες ἦν ἄρα πρὸ πάσης ὑπὲρ Πίστεως ἐνεργείας ἕτερον ἐξευρεῖν τρόπον πρὸς δόξαν τῶν Ῥωμαϊκῶν ὅπλων. Καὶ οὐκ ἀπέτυχε. Τὰ ἀπὸ τῆς Ζ'. ἑκατονταετηρίδος λίαν ἐξαπλωθέντα ἐν Μακεδονίᾳ, κυρίως Ἑλλάδι καὶ Πελοποννήσῳ Σλαβικὰ φῦλα[112], εἰ καὶ ὑπεδουλώθησαν πρῶτον μὲν τῷ 688 ὑπὸ Ῥινοτμήτου[113], εἶτα δὲ τῷ 758 ὑπὸ Κοπρωνύμου[114], ἤρξαντο, ὡς δοκεῖ, νῦν ἐχθρικῶς πρὸς τοὺς δεσπότας διάκεισθαι καί, εἰ μὴ πλανῶμαι ἔκ τινων πράξεων τῆς Εἰρήνης τεκμαιρόμενος[115], πρὸς τοὺς ὑπὲρ Αἷμον ὠμοὺς Βουλγάρους σχετίζεσθαι, ἴσως βοηθείας χρῄζοντα ἐν σκοπουμένῃ κατὰ τῆς βασιλίσσης ἐξεγέρσει. Ἡ δέ, περὶ τούτων, ὡς ἐστιν εἰκάσαι, διδαχθεῖσα καὶ τὸ μὲν πολλῆς χρῄζουσα εἰρήνης διὰ τὸ ἐπὶ θύραις ἵστασθαι

στασιν." Οὕτως ἀσαφῶς πως Θεοφάνης. Τὰ δὲ λοιπὰ ἐκ τῶν Ἀραβικῶν Χρονικῶν παρὰ Weil, II. 101. σημ. 2. ἀβέβαια μέντοι· λίαν γὰρ ἀσύμφωνοι οἱ τούτων μάρτυρες. Μηδὲν λέγοντες περὶ τοῦ δόλου, θέλουσι 54 χιλ. Ρωμαίους πεσόντας καὶ 5600 αἰχμαλωτισθέντας· ἕτερός τις ὅτι μόνον 2900 ᾐχμαλωτίσθησαν· ἄλλος ὅτι εἰ μὴ ἄναδρος ἦν Εἰρήνη, κατεστρέφετο ἂν ἡ Ἀραβικὴ στρατιὰ διὰ τῆς Βανῆς ἐπιστρέφουσα, εἰ παρεσπόνδει δηλαδὴ Εἰρήνη, ὅπερ, ὡς τὸ εἰκός, οὐκ ἐποίησε πρὸς ἄφατον τοῦ καλοῦ κἀγαθοῦ Schlosser 269—70 λύπην. — 112 Τὰ περὶ τούτων εὕρηνται μονογραφικῶς ἐκτεθειμένα ἐν τῇ Geschichte Morea's im Mittelalter τοῦ Falmerayer, μετὰ παρερμηνείας καὶ στρεβλώσεως τῶν Χρονογράφων οὐ τῆς τυχούσης. — 113 Θεοφ. 557. — 114 Θεοφ. 663. — 115 Ἴδ. κατωτ. § 48.

μεγάλου κατὰ τῶν Εἰκονομάχων ἀγῶνος· τὸ δὲ εἰδυῖα ὅτι, εἰ πρὸς τῇ ἐξ Ἀράβων αἰσχύνῃ ἐπέδραμον καὶ οἱ οὐχ ἧττον ἐκείνων δεινοὶ πολέμιοι Βούλγαροι καὶ αὐτή, καὶ ὁ υἱός, καὶ ἡ Ὀρθοδοξία μέγα ἂν διεκινδύνευον πρὸς δ', ὅτι ἀήττητοι ἂν ἐγίνοντο, εἰ συνεμάχουν τοῖς ἐν λόγῳ Σλάβοις, ἠβουλήθη ταπεινῶσαι τούτους, ὅπως ἂν ἀποθαρρύνῃ ἐκείνους. Ἡ Λαχανοδράκοντος μέντοι ἧττα σὺν τῷ μαχιμωτάτῳ θέματι τῶν Θρᾳκησίων, ἡ προδοσία αὐτοῦ ἐν τῷ πορθμιορκεῖν Γερμανίκειαν πρότερον, καὶ πρό γε πάντων ὁ πρόσφατος Τατζατίου ἆθλος ἀρκούντως, οἶμαι, ἐδίδαξαν αὐτὴν τὸ ἐπισφαλὲς τοῦ πεποιθέναι γεννήμασι τῆς Εἰκονομαχίας. Διὸ δὴ αὐτὸς ὁ τοῦ δρόμου Λογοθέτης Σταυράκιος ὤφειλεν ἡγήσασθαι τῆς κατὰ Σλάβων στρατείας. Τίθεται δ' αὕτη ὑπὸ Θεοφάνους ἀορίστως τῷ τρίτῳ τῆς Εἰρήνης ἔτει, ἤτοι τῇ στ' Ἰνδικτιῶνι, καὶ οὐκ ἔχω εἰπεῖν, εἰ ταχὺ μετὰ τὴν Ἀράβων ἀπέλευσιν, δηλαδὴ φθινοπώρῳ τοῦ 782, ἢ ἔαρι τοῦ 783 συνέβη[116]. Βέβαιον μέντοι τυγχάνει ὅτι ἐπανῆλθε Σταυράκιος τροπαιοῦχος Ἰανουαρίῳ τῆς ζ'. Ἰνδικτ., ἤτοι ἀρχομένῳ 784, ἄρα μετὰ ἐνιαυτὸν ἢ καί τι πρός, ἐξ οὗ δῆλον γίγνεται ὅτι ὁ Σλαβικὸς οὗτος πόλεμος τῶν δεινοτάτων ἦν. Ἀλλ' ἡ κατατρόπωσις τῶν πολεμίων ὑπῆρξε τελεία[117], καὶ ὄντως ἀπετινάχθη τὸ ἐξ Ἀράβων ὄνειδος, Σταυρακίου ἔργῳ δείξαντος ὅτι οὐ μάτην ἐτίμα αὐτὸν ἡ βασίλισσα, καὶ δικαίως οὐκ ἐγκατέλιπεν αὐτὸν ταῖς Ἀαρὼν χερσίν, ἄδοξον εἰρήνην προτιμήσασα τῆς ἀπωλείας αὐτοῦ. Ὡς ἄλλος οὖν Βελισάριος ἐπανελθών, ἐτέλεσε τὰ ἐπινίκια ἐν τῷ ἱπποδρομίῳ, ᾗ ἔθος[118].

§ 48. Ἀλλ' ἡ τῶν ἐν τῇ Ἐπικρατείᾳ Σλάβων ὑπόταξις ἀπεθάρρυνε μέν πως τοὺς ὑπὲρ Αἶμον, οὐκ ἠσφάλιζε μέντοι τὴν Αὐτο-

116 Θεοφ. 707 "Τούτῳ τῷ ἔτει (τῷ γ'. ὁρα ἔκδ. de Boor, 456) εἰρηνεύσασα Εἰρήνη μετὰ τῶν Ἀράβων καὶ ἄδειαν εὑροῦσα, ἀποστέλλει Σταυράκιον ... μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαβίνων ἐθνῶν." — 117 Συνέχ. ἡγ. σημ.: "καὶ κατελθὼν ἐπὶ Θεσσαλονίκην καὶ Ἑλλάδα, ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ, εἰσῆλθε δὲ καὶ ἐν Πελοποννήσῳ καὶ πολλὴν αἰχμαλωσίαν καὶ λάφυρα ἤγαγε τῇ Ῥωμαίων βασιλείᾳ. — 118 Θεοφ. 707: "Τούτῳ τῷ ἔτει (τῷ δ'. Εἰρ.) μηνὶ Ἰανουαρ. Ἰνδικτ. ζ'. κατέλαβε Σταυράκιος ἐκ τῶν Σκλαβίνων ἐθνῶν καὶ ἐθριάμβευσε τὰ ἐπινίκια ἐπὶ ἱπποδρομίας." Ὁ Schlosser, 271. παρανοῶν ἀεὶ τὰ ἑλληνικὰ κείμενα, τίθησι τὴν ἐπάνοδον τῇ 7ῃ Ἰανουαρ. καὶ νομίζει τὴν Σταυρακίου νίκην ἀναξίαν τῶν ἐπινικίων!

κρατοριαν ἀπὸ τῆς μανίας αὐτῶν. Ῥητέον δ' ὅτι ἐντελῆ ἄγοντες ἡσυχίαν ἀπὸ τοῦ 775 παρὰ τὸ εἰωθός, ἀνεκτήσαντο δήπου τὰς ἐν τοῖς κατὰ Κοπρωνύμου πολέμοις ἐξαντληθείσας δυνάμεις, καὶ ἑτοίμως ἂν εἶχον ἀεὶ πρὸς εἰσβολήν. Ῥητέον δ' ὡσαύτως, ὅτι ὁ πολλάκις Κοπρώνυμον πολεμήσας ἄρχων αὐτῶν Τελέριγος, προσφυγὼν Χαζάρῳ τῇ ιε'. Ἰνδικτ. (776—77), διέτριβεν ἔκτοτε παρὰ τῇ Εἰρήνῃ ὡς πατρίκιος καὶ προσήκων αὐτῇ τῷ γένει[119], καὶ ὡς τοιοῦτος ἠδυνάτει μὴ ποθεῖν τὴν ἰδίαν καὶ τὴν Εἰρήνης ἀσφάλειαν καὶ συμβουλεύειν ἄρα αὐτῇ περὶ τοῦ πρὸς βορρᾶν πρακτέου· πιθανοῦ ὄντος, ὅτι εἶχεν ὑπὲρ Αἵμον καὶ συγγενεῖς καὶ φίλους, παρ' ὧν ἐπυνθάνετο τὰ χρήσιμα. Οὗτος οὖν ὁ Τελέριγος, ὡς ἐμοὶ δοκεῖ, ὑπέδειξε τῇ βασιλίσσῃ, ὅτι ἀσφαλὴς τῶν πρὸς βορρᾶν φρουρίων ὀχύρωσις τὰ μάλιστα ἂν συνετέλε τῇ εὐκταίᾳ εἰρήνῃ. Ἡ δὲ οὐκ ὤκνησεν αὐτὴ ἀπελθεῖν πρὸς ἐπιτέλεσιν τοῦ ἔργου. Ἄλλως γὰρ ἀδυνατῶ ἐξηγῆσαι τὸ τί ἂν ἐσκόπει ἀπὸ ἄκρου ἕως ἄκρου τῆς Θρᾴκης περιοδεύσασα καὶ τὰ αὐτόθι φρούρια κτίσασα, καὶ ἐκ τούτου ἐτεκμηράμην ὅτι οἱ ἐντὸς καὶ οἱ ἐκτὸς Αἵμου πολέμιοι οὐκ ἴσταντο ἀλλήλοις ἀντιμέτωποι. Ἐγένετο δ' ἡ ἐν λόγῳ περιοδεία οὐ μακρὸν μετὰ τὴν Σταυρακίου ἐπάνοδον, Μαΐῳ δὴ μηνὶ τῆς αὐτῆς ζ' Ἰνδικτ. ἤτοι 784. Ἐγένετο δ' ἐν χορδαῖς καὶ ὀργάνῳ καὶ βασιλικῇ δορυφορίᾳ ἀπὸ Κωνσταντινουπόλεως ἕως Βερροίας, ἣν κτίσασα ἐκ νέου, ἢ τὰ τῆς ἀνακτίσεως αὐτῆς ὁρίσασα νῦν, Εἰρηνούπολιν αὐτὴν μετωνόμασεν. Ἐντεῦθεν δὲ κατῆλθεν ἕως Φιλιππουπόλεως, ἴσως δὲ καὶ ἕως Ἀγχιάλου, ἣν ὡσαύτως ἠρημωμενην ἔκτισεν ἐκ νέου καὶ ἠσφαλίσατο. Περιώδευε δ' ἡ Αὐτοκράτειρα οὐ μόνη, ἀλλὰ σὺν Κωνσταντίνῳ τῷ τρισκαιδεκαετεῖ βασιλεῖ καὶ υἱῷ αὐτῆς. Λέγεται δὲ διαρρήδην ὑπὸ Θεοφάνους, ὅτι περιώδευσε "μετὰ πάσης ἀπαθείας καὶ ὑπέστρεψεν ἐν εἰρήνῃ"[120]· τοῦτο δὲ ὄντως ἦν ἄξιον

---

119 Θεοφ. 698: "Τῷ β'. Χαζάρου ... προσέφυγε Τέλερος (Τελέριγος) ὁ τῶν Βουλγάρων κύριος εἰς τὸν βασιλέα· καὶ ἐποίησεν αὐτὸν Πατρίκιον ζεύξας αὐτῷ καὶ τῆς γυναικὸς αὐτοῦ Εἰρήνης ἐξαδέλφην· δεξάμενος δὲ αὐτὸν βαπτισθέντα ἐκ τῆς ἁγίας Κολυμβήθρας μεγάλως αὐτὸν ἐτίμησε καὶ ἠγάπησεν." — 120 Θεοφ. 707: "Τῷ δὲ Μαΐῳ μηνὶ τῆς αὐτῆς ζ'. Ἰνδικτ. ἐξῆλθεν ἡ βασίλισσα Εἰρήνη σὺν τῷ υἱῷ αὐτῆς καὶ μετὰ δυνάμεως πολλῆς ἐπὶ τὴν Θρᾴκην ἐπιφερομένη ὄργανα καὶ μουσικά, καὶ ἀπῆλθεν ἕως Βεροίας, κα

*

μνείας, ἅτε ἀπὸ αἰώνων μη τολμῶντος οὐ τοῦ Αὐτοκράτορος, ἀλλ' οὐδὲ στρατηγοῦ ἐκβῆναι τοῦ Μακροῦ Τείχους καὶ περιοδεῦσαι πρὸς ἐπιδειξιν ἢ ἀναψυχήν. Νῦν ὄντως Εἰρήνη ἐβασίλευε Ῥωμαίων!

ταύτην οἰκοδομηθῆναι κελεύσασα ἐπωνόμασεν αὐτὴν Εἰρηνούπολιν. Κατῆλθε δὲ ἕως Φιλιππουπόλεως μετὰ πάσης ἀπαθείας καὶ ὑπέστρεψεν ἐν εἰρήνη κτίσασα καὶ τὴν Ἀγχίαλον". Εὔδηλον δ' ὅτι περὶ τῆς ἐν Θράκη Βερροίας ἢ Βερώης (ἴσως μεταξὺ τῶν νῦν Ἐσκὶ καὶ Γενὶ Ζαγρᾶ, εἰ μηδετέρα τούτων ἐστί, κειμένης) ὁ λόγος, οὐ περὶ τῆς ἐν Μακεδονίᾳ, ὅθεν οὐκ ἂν κατήρχετο δήπου Εἰρήνη εἰς Φιλιππούπολιν. Σφάλλεται ἄρα Σ. Βυζάντιος ἐν "Λεξικῷ τῶν κυρίων ὀνομάτων", ὡς δ' αὖτως καὶ ἕτεροι γεωγράφοι λέγοντες, ὅτι ἡ ἐπὶ Βερμίου ὄρους Βέρροια μετωνομάσθη Εἰρηνούπολις, ὑπὸ τοῦ ἀνακριβοῦς Κεδρηνοῦ, II, 28 πιθανῶς ἀποπλανηθέντες, λέγοντος, ὅτι Εἰρήνη "τὴν ἐν Θεσσαλονίκῃ Βέρροιαν ἔκτισεν, Εἰρηνόπολιν αὐτὴν μετονομάσασα."

ΒΙΟΣ.

Ἐγεννήθην ἐν Χίῳ τῇ 3ῃ Ἀπριλίου τοῦ 1859 ἐκ πατρὸς Δημητρίου Φοροπούλου, ἐμπόρου, καὶ τῆς γυναικὸς αὐτοῦ Πηνελόπης Ἀναστασωπούλου, ἀμφοτέρων Ὀρθοδόξων. Σεπτεμβρίῳ τοῦ 1865 εἰσαχθεὶς εἰς τὰ δημόσια τῆς Χίου Σχολεῖα, ἀπεφοίτησα τοῦ αὐτόθι Γυμνασίου Σεπτεμβρίῳ τοῦ 1875 ἐπὶ τοῦ ἀειμνήστου Γυμνασιάρχου Γεωργίου τοῦ Σουρία. Τὸν μοναχικὸν δὲ ταχὺ μετὰ τοῦτο ἀσπασάμενος βιον, εισῆλθον Σεπτεμβρίῳ τοῦ 1876 εἰς τὴν ἐν Χάλκῃ Θεολογικὴν Σχολὴν τοῦ Οἰκουμενικοῦ Πατριαρχείου καὶ ἐπὶ τετραετίαν ἐν αὐτῇ διώσας, ἀνεκηρύχθην Ἰουλίῳ τοῦ 1880 "διδάσκαλος τῆς Ὀρθοδόξου Χριστιανικῆς Θεολογιας" ἐπὶ τῇ βάσει πραγματείας: "Ἡ Εἰκονομαχια μεχρι τῆς Ζ΄. Οἰκουμενικῆς Συνόδου" ἐπιγεγραμμένης καὶ τῶν ἐπὶ διπλώματι ἐξετάσεων. Τῇ δὲ 14. Σεπτεμβρ. τοῦ αὐτοῦ ἔτους εἰς Διάκονον ὑπὸ τοῦ τότε Οἰκουμενικοῦ Πατριάρχου Ἰωακείμ τοῦ Γ΄. προχειρισθείς, ὅτε και ἀπὸ Ἀλκιβιάδου μετωνομάσθην Ἰωακείμ, ἀπεστάλην Ἰουλίῳ τοῦ 1881 εἰς Ἑσπερίαν ὑπὸ τῆς Μ. τοῦ Χριστοῦ Ἐκκλησίας πρὸς κρειττονα παίδευσιν. Διατρίψας δ' ἐν Ἀγγλίᾳ πρὸς τοῦτο ἐπὶ διετίαν, ὡς ἔγγιστα, διήκουσα εἰς τὴν Ὀξόνειον Ἀκαδημίαν φοιτήσας τῶν θεολόγων καθηγητῶν Liddon, Bright, King, Wordsworth καὶ Johnston, ἐν Γερμανίᾳ δ' ἐπὶ τετραετίαν ἀκροατὴς ἐγενόμην ἐν μὲν τῷ τοῦ Μονάχου Πανεπιστημίῳ τῶν καθηγητῶν Frohschammer καὶ Friedrich· ἐν δὲ τῷ τῆς Λειψίας: Luthardt, Lechler, Seydel, Heinze, Voigt καὶ Maurenbrecher· καὶ ἐν τῷ τῆς Ἰένης τέλος: Eucken, Gelzer, Lorentz καὶ Regel.

Τῷ ἀποστείλαντι με εἰς Ἑσπερίαν πατριάρχῃ Ἰωακειμ τῷ Γ'. τοῖς ἐπὶ τετραετίαν δαπανήσασι διὰ τὰς σπουδάς μου Μιχαὴλ Ζαριφῃ καὶ υἱοῖς Α. Μαυρογορδάτου Παντολέοντι, Θεοδώρῳ καὶ Νικολάῳ, ὡς καὶ τοῖς ἐφ' ἑξαετίαν διδάξασί με ἐν Ἀγγλίᾳ καὶ Γερμανιᾳ καθηγηταῖς εὐγνωμονῶν, μυρίας ὁμολογῶ ὡς εὐεργέταις μου χάριτας.

Ἐν Ἰένῃ, τῇ 5. Μαρτίου 1887.

PHOTOMOUNT
PAMPHLET BINDER
PAT. NO.
877188
Manufactured by
GAYLORD BROS. Inc.
Syracuse, N. Y.
Stockton, Calif.

DATE DUE

[redacted] DEC 1 0 1990			

DEMCO 38-297

DF586 .P57
Eirene he Athenaia.
Princeton Theological Seminary-Speer Library
1 1012 00022 2598